e ΕΥΤΡ. Οἱ παρόντες ἀκροαταὶ λεγέτωσαν εἰ παρὰ τὸ δίκαιον ἀπεφηνάμην· καὶ γὰρ αὐτὸς Ἕλλην ὢν βούλομαι Χριστιανὸς γενέσθαι * * * * ἀνάγκη οὖν * * * * τὸ κρεῖττόν με αἱρήσασθαι.

20 ΜΕΓ. Δείξω ὅτι ἠναντίωται τὸ εὐαγγέλιον τῷ νόμῳ.

ΕΥΤΡ. Τὸ ἠναντιῶσθαι οὐκ ἤδη δύο θεοὺς δείκνυσι· καὶ γὰρ ὡμολόγηται ὑπὸ σοῦ ὅτι εἷς ἦν ὁ λέγων· φόνευσον, καί· μὴ φονεύσῃς.

ΜΕΓ. Ἐκ τούτου δείκνυται μὴ ὢν ἀγαθὸς ὁ δημιουργὸς ὅτι ἑαυτῷ ἐναντιοῦται.

25 ΑΔ. Εἰ διὰ τὸ διαφόρους νόμους αὐτὸν τεθεικέναι λέγεις αὐτὸν μὴ εἶναι ἀγαθόν, ἄκουε [ἴσος ὢν] ὅτι καὶ ὁ Χριστὸς οὐδὲν διαλλάττει αὐτοῦ, ἀλλ' ἴσως τοῦ δημιουργοῦ καὶ αὐτὸς διάφορα νομοθετεῖ· λέγει 814 γάρ· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καὶ μετὰ | ταῦτα λέγει τοῖς ἐχθροῖς τῆς πίστεως· πορεύεσθε εἰς τὸ σκότος τὸ ἐξώτερον

2/3] Zach. 7: 19. — 28] Mt. 5: 44, Lc. 6: 27. — 29] Mt. 8: 12, 22: 13, 25: 30.

1 ἐγένετο FH, ἐγίνετο d. übr., Ruf. »fiebant« | ὅπως] πῶς AB¹DE | 2 μὴν AFH, μὲν d. übr. | 4 ὁ ἥλιος ABFH, ὁ < d. übr. | 8 φιλονικεῖν B¹ | 11 ὁ δὲ ὁ προφ. Lommatsch, wohl aus Versehen | 19 Das unbedingte Verlangen des Eutr., Christ zu werden, passt hier nicht; es kommt viel zu früh und hat seine richtige Stelle erst 833e. Eutr. sollte sagen, dass er unparteiisch sein will, sagt aber hier gerade das Gegenteil. Statt ἀνάγκη οὖν erwartet man nach dem vorangehenden: ἀν. γάρ. Es kommt mir wahrscheinlicher vor, dass οὖν richtig ist und dass nach γενέσθαι und οὖν vom Abschr. Worte ausgelassen worden sind. Vgl. Ruf. | 19 αἱρήσασθαι ABC w. e. sch., H, αἱρήσεσθαι d. übr. | 22 φονεύσεις B¹ | 25 τεθηκέναι B¹ | 26 ἴσος ὢν < FH Pic., οὖν ἴσος ὢν C, οὖν A, mit Punkten unter den Buchst. | 27 ἴσως A (in mg. ἴσος ὢν) CDE, ἴσος ὢν F Pic., ἴσος d. übr. u. d. Ausgg. vgl. Ruf.

occideret sol super iracundiam fratris. Sed et propheta manifestissime denuntiat, dicens: *Nolite retinere iracundiam uestram unusquisque aduersus proximum suum in cordibus uestris.* Unde apparet quia, sicut in euangeliis, ita etiam in lege praeceptum ut *sol non occidat super iracundiam*
5 *uestram.*

Meg. d.: Non est scriptum in lege ut non occidat sol super iracundiam. Quid aliud pro alio dicis?

Eutr. d.: Contendere uis tantummodo inique, Megethi. Nam et uerbo et opere praeceptum hoc inuenitur in lege. Etenim hoc, quod
10 praecepit propheta: *Nolite retinere iracundiam in cordibus uestris,* non tibi uidetur multo cautius dictum? Nam Christus uel unius diei spatium concedit irato, propheta uero, nihil omnino temporis indulgens, absolute iracundiam prohibet retineri.

Meg. d.: Ut uideo, non es iudex sed aduersarius.

15 *Ad. d.*: Non Eutropius tibi, sed ueritas aduersatur. Est enim natura eius falsa dicentibus aduersari. Uinci etenim non potest, quia immortalis est, ex bono et immortali deo progenita.

Eutr. d.: Dicant quae praesentes sunt auditores si aliquid iniustum pronuntiaui. Nam ego, cum gentilis sim, Christianus uelim esse (si
20 mihi patuerit ueritas*), et ideo me necesse est (discutere diligentius quae dicuntur*), ut sequar id quod melius deprehendero.

c. **XIV.** *Meg. d.*: Ostendo quia aduersatur legi euangelium.

Eutr. d.: Sed non continuo, si aduersatur, etiam duos esse ostendit deos, quia etiam tu confessus es unum esse deum qui iussit occidi et
25 non occidi.

Meg. d.: Ex hoc ostenditur non esse bonus creator deus, quia sibi contrarius est.

Ad. d.: Si pro eo, quod diuersa dedit praecepta, dicis eum non esse bonum, audi quia et Christus nihil ab eo diuersum facit, sed similiter
30 ut creator leges statuit etiam ipse diuersas. Ait enim: *Diligite inimicos uestros*, et post haec dicit inimicis fidei: *Ite in tenebras exteriores.* Quomodo ergo, si diligebat inimicos, mittebat in tenebras exteriores? Numquid debet aliter agere ipse quam praecepit?

18 iniustum] Oder »aliquid praeter iustum« (Gr. παρὰ τὸ δίκαιον). Cod. aliquid iustum | **19** Cod. cxpianus | **29** Cod. di[h]uersum ab e[a]o | **30** Cod. creator legis] D. i. von dem das Gesetz redet. Doch ist wohl nach dem vorangehenden »creator deus« zu lesen | Cod. diuersa. Man lese: leges ..... diversas. — B.

πῶς ἠγάπα τοὺς ἐχθροὺς οὓς ἀπέστελλεν εἰς τὸ σκότος τὸ ἐξώτερον; ἐν τούτῳ ποία ἀγάπη;

ΜΕΓ. Ἐν τῷ νόμῳ λέγει· ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος, ὁ δὲ κύριος, ἀγαθὸς ὤν, λέγει ἐν τῷ εὐαγ-
5 γελίῳ· ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν σιαγόνα, παράθες αὐτῷ καὶ τὴν ἄλλην.

ΑΔ. Καλλίστως καὶ ἁρμοδίως τέθεινται αἱ φωναὶ νομοθεσίας. ἡ μὲν γὰρ πρώτη ἐν τῷ νόμῳ, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, φόβῳ συγκέκραται, ὅπως μή τις τολμήσῃ θατέρου ὀφθαλμὸν ἐξελεῖν καὶ
10 παύσωνται τῆς πρὸς ἀλλήλους μνησικακίας. ὥσπερ οὖν ἐν τῷ νόμῳ
b ὁ φόβος ἐκώλυσε τὴν μάχην, οὕτω καὶ ἐν τῷ εὐαγγελίῳ τὸν αὐτὸν τρόπον κεκώλυται μὴ διὰ τὸ ἐλάχιστον ῥάπισμα ἀντιλέγειν καὶ μνησικακεῖν, ἀλλ' εἴκειν καὶ πείθεσθαι. ταῦτα τοίνυν ἐστὶ φόβος καὶ ἐπιείκεια, ἀμφότερα εἰρήνης κατασκευαστικά· καὶ ὃς μὲν διὰ τὸν φόβον
15 πέπαυται τῆς μάχης, ὃς δὲ διὰ τῆς ἐπιεικείας τὴν εἰρήνην ἠσπάσατο. εἰ δὲ μόνον ἐν τῷ νόμῳ τὰς ἀνταποδόσεις λελέχθαι λέγεις, ἄκουε τοῦ εὐαγγελίου λέγοντος· ᾧ μετρεῖτε μέτρῳ ἀντιμετρηθήσεται ὑμῖν. μάθετε σαφέστερον ἐκ τοῦ αὐτοῦ εὐαγγελίου ὅτι ἕκαστος καθὸ
c ἔπραξε τοῦτο κομίζεται, ὥσπερ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ἐν τῷ
20 λέξαι· ὃς ἂν με ἀρνήσηται ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. δέδεικται τοίνυν καὶ διὰ νόμου καὶ διὰ τοῦ εὐαγγελίου ὅτι ἕκαστος πρὸς ἃ πράττει πρὸς τὸν ἀδελφὸν αὐτοῦ, τοῦτο κομιεῖται.

ΜΕΓ. Ὁ προφήτης τοῦ θεοῦ τῆς γενέσεως ἐκ δρυμοῦ [Ἐλισσαῖος]
25 ἄρκτῳ εἶπεν ἐξελθεῖν καὶ καταφαγεῖν τοὺς ἀπαντήσαντας αὐτῷ παῖδας· ὁ δὲ ἀγαθὸς κύριος· ἄφετε, φησί, τὰ παιδία ἔρχεσθαι πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.

ΑΔ. Χρὴ τοίνυν ἀμφοτέρων τῶν παιδίων τὰς προσελεύσεις ἱστο-
d ρῆσαι, καὶ εἰ μὲν ἴσαι εἰσὶν αἱ προσαγωγαί, εὖ ἂν ἔχοι, ἐστὶ γὰρ τὸ
30 πᾶν αἴτιον τοῖς προσιοῦσιν. οἱ μὲν τῷ Χριστῷ προσεληλυθότες δι' εὐλογίας προσῄεσαν· οἱ δὲ διὰ χλεύην καὶ ὕβριν ἐπεσπάσαντο ἑαυτοῖς ὄλεθρον θηριώδη. δέδεικται γὰρ ὅτι πρὸς ἃ πράττει ἕκαστος, οὕτω κομίζεται. δίκαιον τοίνυν τοὺς προσεληλυθότας λαβεῖν εὐλογίας

3/4] Exod. 21: 24, Lev. 24: 19, Deut. 19: 21. — **5/6**] Mt. 5: 39, Lc. 6: 29. — **17/18**] Mt. 7: 2. — **20—22**] Mt. 10: 33. — **25**] 2 Kön. 2: 24. — **26/27**] Mt. 19: 14, Mc. 10: 14, Lc. 18: 16.

1 ἀπέστειλεν H | **9** ἐξελεῖν] ἐξεῖλαι A[1]B[1] | **10** παύσονται DE | **24** Der Name Ἐλισσαῖος steht in H nach παῖδας. Zwischen δρυμοῦ u. ἄρκτῳ gehört er ebensowenig. Er ist gewiss von einem Leser an den Rand geschrieben und von einem Abschr. in den T. aufgenommen worden | **28** ἱστορῆσαι] θεωρῆσαι H[1] | **31** ἑαυτοῖς richtige Conj. Wettsteins, σὺν αὐτοῖς d. HSS., vgl. Ruf. »*ipsi sibi*«.

c. **XV.** *Meg. d.*: In lege scriptum est: *Oculum pro oculo, dentem pro dente.* Dominus autem, qui bonus est, dicit in euangelio: *Si quis te percusserit in dexteram maxillam, praebe ei et alteram.*

Ad. d.: Optime et conuenienter se habet legislatio. Primum enim 5 in lege mandatum, quo iubetur oculus pro oculo repeti, metum incutit, ne quis audeat alterius oculum eicere, dum suum pertimescit amittere, ut, cum suo quis parcit, temperaret ab alieno. Sicut ergo in lege huiuscemodi metus iniuriam comprimebat, ita et in euangelio prohibet talionem, ne forte propter exiguam palmae unius iniuriam pugnae orirentur 10 et caedes, utque ibi metus ⟨cohiberet⟩, hic lenitas et patientia mitigaret. Quod utique utrumque ad concordiam tendit, cum alius metu cohibetur a caede, alius iniuriosum per lenitatem inuitat ad pacem. Ut autem scias non solum in lege esse de talione mandatum, audi et in euangelio quid dicit: *Qua mensura metieritis, eadem remetietur uobis.* Et iterum 15 euidentius, tanquam si diceret: *Oculum pro oculo*, ita dicit: *Quicunque me negauerit coram hominibus, et ego negabo eum coram patre meo, qui est in coelis.* Manifestissime igitur demonstratur et in lege et in euangeliis quod unusquisque, quod fecerit fratri suo, hoc recipiet.

c. **XVI.** *Meg. d.*: Propheta legis antiquae ursis praecepit exire de 20 silva et comedere pueros qui ei occurrerunt. Bonus autem dominus dicit: *Sinite pueros uenire ad me; talium est enim regnum coelorum.*

Ad. d.: Conueniens puto utrorumque puerorum discutere propositum, et siquidem simile inuenitur, recte dicis. Etenim omnium quae geruntur causa maxime in proposito consistit. Illi qui ad Christum accesserunt 25 propter benedictionem accesserunt; illi vero propter irrisionem et iniuriam ad prophetam uenerant, et ideo ipsi sibi bestiarum morsum putandi sunt prouocasse. In superioribus etenim manifestissime demonstratum est quod unusquisque secundum opera sua quae agit recipiet. Iustum igitur fuit eos, qui accesserunt ut acciperent benedictionem, 30 consequi secundum propositum suum, et eos, qui accesserant ad inferendam iniuriam prophetae dei, recipere secundum propositum suum, sicut et Iudas qui impie egit in dominum, de quo ipse Christus pronun-

5 quo] Cod. quod | 6 Cod. audiat | 8 Cod. iuria | 10 Man erwartet nach »metus« ein Verbum wie »cohiberet« oder »coerceret«, und nach »mitigaret« ein Objekt, wie »animos«. (M. E. unnötig. — B) | 16 negabo] Cod. nego | 18 euangeliis] So der Cod. Euangelio? | Das erste »quod« steht im Cod. nach »demonstratur«. — B | 24 illi] Casp. änderte: Isti, nach S. 25, 3. — B.

τυχεῖν τῆς ἑαυτῶν προαιρέσεως, καὶ τοὺς ὑβρίσαντας τὸν τοῦ θεοῦ προφήτην καὶ τοὐναντίον τούτους θηριοβρώτους γενέσθαι· καθὼς ἐκολάσθη εἰς κύριον ἀσεβήσας Ἰούδας. αὐτὸς γὰρ ὁ Χριστὸς ἀπεφήνατο
e λέγων· οὐαὶ τῷ ἀνθρώπῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παρα-
5 δίδοται· συμφέρει αὐτῷ εἰ μὴ ἐγεννήθη, ἢ γεννηθέντα μύλῳ ὀνικῷ προστεθῆναι καὶ καταποντισθῆναι ἐν τῷ βάθει τῆς θαλάσσης. εὑρήσεις δὲ καὶ τοὺς προφήτας πολλάκις πολλοὺς ἐλεήσαντας· ἀλλ' οὖν γε καὶ νεκροὺς ἐγείραντας. ἀλλὰ καὶ Σωμανῖτις δεηθεῖσα τοῦ προφήτου ἀπείληφε τὸν τεθνηκότα αὐτῆς υἱόν. ἀπο-
10 δέδεικται οὖν φανερῶς ἑνὸς θεοῦ τοὺς προφήτας ὄντας καὶ τὸν Χριστόν· εἷς γὰρ ὤν, ὃν ὡς εἰδὼς ἔφης ἀγαθὸν μόνον εἶναι ⟨καὶ⟩ οὐχὶ καὶ δίκαιον [ὁ Χριστός], τίνι λόγῳ κελεύει τὸν ἀδίκως ἀσεβήσαντα
f Ἰούδαν δικαίως εἰς θάλασσαν ῥίπτεσθαι; οἶμαι γὰρ τὸ τοὺς ἁμαρτάνοντας κολάζειν δικαίου εἶναι καὶ οὐκ ἀγαθοῦ κατὰ σέ. ἀγαθὸς γὰρ
15 ὢν μόνον καὶ οὐχὶ καὶ δίκαιος, ὀφείλει μηδένα κολάζειν, εἰ δὲ κολάζει, ἔσται καὶ δίκαιος. λεκτέον τοίνυν καὶ τοῦτο· δῆλον γὰρ ὅτι δίκαιος, ὁ δημιουργός, οὐδὲν εἶχε πρᾶγμα κολάσαι τὸν Ἰούδαν, μηδὲν ἠδικη-
815 μένος παρ' αὐτοῦ. ἀλλ' οὐδὲ διάβολος ἠδύνατο | κολάσαι τὸν Ἰούδαν, μηδὲν ὑπ' αὐτοῦ βλαβείς, μᾶλλον δὲ τοὐναντίον βοηθηθείς· ὃν γὰρ
20 ἐφοβεῖτο καὶ ἐβόα· τί ἐμοὶ καὶ σοί; ἦλθες πρὸ καιροῦ βασανίσαι με; τοῦτον ἐθεώρει θανάτῳ ὑποβληθέντα ὑπὸ τοῦ Ἰούδα. εἰκὸς οὖν μήτε ὑπὸ τοῦ ἀγαθοῦ Χριστοῦ κολάζεσθαι τὸν Ἰούδαν, ἀγαθὸς γὰρ οὐδέποτε κολάζει. τίνα τοίνυν τῶν τριῶν φῂς κεκολακέναι τὸν Ἰούδαν; δέδεικται γὰρ ὅτι ⟨ὁ⟩ δίκαιος, οὔτε ἀδικηθεὶς αὐτός, οὐκ
25 ἐκόλασε μηδὲν βλαβείς· εἰ δὲ ἐκόλασεν, ἀνάγκη αὐτὸν ὡς ἔκδικον καταστάντα εἶναι παρὰ τοῦ ἀδικηθέντος. εἰ δὲ ὁ διάβολος ἐκόλασε τὸν Ἰούδαν, ἔσται δίκαιος καὶ οὐ κακός· ὁ γὰρ κατακρίνας τὸν ἀδίκως
b παραδόντα δίκαιος· ἔσται οὖν δίκαιος καὶ οὐ πονηρός. εἰ δὲ ὁ Χριστὸς ἐκόλασε, τοὐναντίον τῆς σῆς γνώμης ἔσται· ἀγαθὸς γὰρ οὐδέποτ
30 κολάζει· εἰ δὲ ἐκόλασε, δίκαιος καὶ οὐκ ἀγαθὸς ἔσται. ἄκουε δὴ καὶ

4—7] Mt. 26: 24, 18: 6. — **7**] 2 Kön. 4: 17—37. — **20**] Mt. 8: 29.

8 *ἀλλ' οὖν γε καὶ* ABCDEGH, *ἀλλὰ καὶ οὖν γε* d. Ausgg. | **11** *καὶ* vor *οὐχὶ* < d. HSS. Vgl einige Z. unten: *ἀγαθὸς* ..... *καὶ οὐχὶ καὶ δίκαιος* | **12** *ὁ Χριστὸς* ist eine Randglosse, wie oben *Ἐλισσαῖος* | **14** *κολάζειν*] *κομίζειν* F[1]H[1] | *δικαίου* .... *ἀγαθοῦ*] *δικαίους* u. *ἀγαθοὺς* d. HSS., in H ist in beiden Worten der Buchst. »ς« gestrichen, C in mg. *τάχα δικαίου* u. *ἀγαθοῦ*, so auch Pic. Per. — Wettst. wollte den Genit. lesen oder *τῷ* ...... *κολάζειν* | **16** *ὅτι δίκαιος* v. Lomm. ausgelassen | **21** *ὑπὸ*] *ἀπὸ* AB[1] | **24** *ὅτι ὁ*] *ὅτι* Wettst., H in mg., *ὅτε* d. HSS. | **28** *παραδόντα* Wettst. Pic. Humfr., *παραδοθέντα* d. HSS. | **30** *δίκαιος καὶ οὐκ ἀγαθὸς ἔσται*] *δικαίως καὶ οὐ καθὼς δίκαιος ἔσται* die Ausgg. u. HSS. ausgen. CFH, *δικαίως καὶ οὐκ ἀγαθὸς δίκαιος ἔσται* C, *δικαίως καὶ οὐκ ἀγαθῶς δίκαιος ἔσται* FH. Pic.: »*per iustitiam non per bonitatem iustus erit*«, Per. »*non bene iustus erit*« | *δὴ* FH, *δὲ* d. übr.

tiauit: *Uae illi per quem filius hominis tradetur; melius illi fuerat non nasci, aut certe nato molam asinariam ligari circa collum eius et mitti in profundum maris.* Inuenies autem et prophetas multis fecisse misericordiam, alios autem et a mortuis suscitasse. Denique Sunamitis illa,
5 cum supplicasset prophetae, recepit mortuum filium suum, et ideo ostenditur unius Dei esse prophetas et euangelia. Alioquin hic, quem dicis tantum bonum deum esse et non iustum, quomodo impium Iudam dicit melius esse in profundum maris praecipitari? Puto enim quod qui peccantes plecti iubet iustus est. Bonus enim secundum te neminem
10 punit. Si autem punierit, ⟨erit⟩ et iustus. Sed et illud dicendum puto quod iusto deo nihil negotii erat in Iuda, ut eum puniret cui nihil deliquerat. Sed nec diabolus quidem poterat Iudam punire, a quo non fuerat offensus, immo uero et cuius gratiam senserat. Illum enim, quem timebat et de quo clamabat: *Quid mihi et tibi est, Iesu? uenisti ante*
15 *tempus torquere me,* hunc uidebat ab eo morti esse traditum. Si ergo neque iustus deus, neque diabolus ulciscebatur in Iudam, deus autem bonus, qui neminem punit, illum punire non poterat, quem ex his tribus dicis animaduertisse in Iudam? quia neque diabolus uindicat bonos et malos punit, alioquin non erit malus, sed iustus, neque iustus iniuriam
20 filii ulciscitur alieni, neque bonus peccantem punire creditur, alioquin simul et iustus et bonus esse probabitur, aut, si utrumque esse non poterit, iustus magis erit quam bonus. Audi et apostolum dicentem quoniam: *Unusquisque a domino accipiet quae egit, siue bona siue mala.*

Meg. d.: Quid hic est simile? Propheta occidit, Christus autem sal-
25 uauit. Nihil est omnino simile.

Eutr. d.: Illi, qui accesserant ad prophetam, benedictionem uenerant accepturi?

Ad. d.: Non, sed ut irriderent et iniuriam facerent. Denique acclamabant ei: *Ascende, calue!*

30 *Eutr. d.*: Iustum est ut, quemadmodum dixisti[s] quod hi qui acce-

1 melius illi] Cod. illi melius mit »b« über »illi« u. »a« über »melius« | **6** Cod. »Alioquin hunc quomodo, quem dicis tantum bonum deum esse et non iustum« mit einem Punkte über den Anfangsbuchstaben von »hunc« und »quomodo«, wohl als Zeichen des Anstosses an dem Casus und der Stellung dieses Wortes | **7** Caspari will »impio Iudae« nach den Evv.; unnötig. — B | **10** »Erit« fehlt im Cod. Der gr. T. *ἔσται καὶ δίκαιος* | **18** Cod. animaadvertisse | **30** Man erwartet den Sing. »dixisti«. Doch geht der Plur. an. Der Verf. kann Ad. als Vertreter der Katholiken haben sprechen lassen. (Das lässt sich aber hier nicht annehmen. Man lese den Singular: dixisti. — B). Übrigens geht, was Ad. oder seine Partei geäussert haben soll, dass zu denen, die zu Christus kamen, von diesem gesagt worden sei, »ut secundum fidem mentis suae reciperent«, auf Äusserungen des Ad. zurück, die wir im griech. Text als Erwiderung auf Meg.'s Worte: *Τί ὅμοιον — ἔσωσεν* antreffen, scil. *Τοὐναντίον — ἀπώλεσεν,* die aber in Rufins Vorlage oder im Cod. ausgefallen oder von Rufin übersprungen sind.

τοῦ ἀποστόλου λέγοντος ὅτι· ἕκαστος παρὰ Χριστοῦ κομίζεται εἴτε ἀγαθὸν εἴτε κακόν.

ΜΕΓ. Τί ὅμοιον; ὁ προφήτης ἀπέκτεινεν, ὁ δὲ Χριστὸς ἔσωσεν.

(ΑΔ. Τοὐναντίον δὲ τοὺς ἀπίστους ἀπώλεσεν. ἔλεγε γὰρ ἑκάστῳ·
5 ἡ πίστις σου σέσωκέ σε· εἰ οὖν ἡ πίστις ἑκάστου, ἡ ἐκ προαιρέσεως, πέφυκε σῴζειν, τοὐναντίον ἡ ἀπιστία ἀπώλεσεν.*)

ΕΥΤΡ. Οἱ τῷ προφήτῃ προσελθόντες εὐλογίας λαβεῖν προσῆλθον;

c ΑΔ. Οὐκ, ἀλλὰ χλεύης ἕνεκεν καὶ ὕβρεως ἀμέλει φαλακρὸν τοῦτον ἐκίκλησκον.

10 ΕΥΤΡ. Δίκαιον ἦν κατὰ τὴν προαίρεσιν τῆς προσαγωγῆς οὕτω καὶ κομίσασθαι, μάλιστα τοῦ ἀποστόλου λέγοντος παρὰ τοῦ Χριστοῦ ἀγαθὰ καὶ κακὰ κομίζεσθαι.

ΜΕΓ. Ὁ δημιουργὸς οὐδὲ ᾔδει ποῦ ἐστιν ὁ Ἀδάμ, λέγων· ποῦ εἶ; ὁ δὲ Χριστὸς καὶ τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων ᾔδει.

15 ΑΔ. Πῶς οὖν καὶ ὁ Χριστὸς περὶ Λαζάρου λέγει· ποῦ τεθείκατε αὐτόν; ἠγνόει ἴσως ποῦ κεῖται.

ΜΕΓ. Οὐ γέγραπται ἐν τῷ ἡμετέρῳ εὐαγγελίῳ.

ΑΔ. Οἶδας ὅτι ἐπηγγειλάμην ἐκ τοῦ ἡμετέρου εὐαγγελίου δεικνύναι.
d ἐπεὶ οὖν ⟨οὐ⟩ βούλει τοῦτο, πῶς πυνθάνεται ὁ Χριστὸς παρὰ τοῦ ἀρχι-
20 δαίμονος λέγων· τί σοί ἐστιν ὄνομα; ὁ δέ, φησίν, εἶπε· Λεγεών. ἴσως οὖν κατὰ σὲ ἠγνόει καὶ διὰ τοῦτο ἐπυνθάνετο.

ΜΕΓ. Οὐχ ὅμοιον.

ΕΥΤΡ. Ἀμφότερά μοι δοκοῦσιν ἄγνοια εἶναι, τό τε λέγειν· ποῦ εἶ; καὶ τό· τί σοι ὄνομα; λέγειν.

25 ΑΔ. Οὐχ ὡς πυνθανόμενος ὁ θεὸς τῷ Ἀδὰμ φάσκει· ποῦ εἶ; ἀλλ' ὑπομιμνήσκειν αὐτὸν ἐβούλετο. τὸ πρότερον γὰρ ἐν μακαριότητι διάγοντα καὶ μικρὸν ὕστερον παρακούσαντα τῆς ἐντολῆς καὶ ὄντα γυμνόν, ὑπομιμνήσκει ποῦ εἶ; λέγων, ὅρα ἐν ποίοις ἦς καὶ ποῦ εἶ, ἐκπεσὼν τῆς τρυφῆς παραδείσου.

1/2] 2 Cor. 5: 10. — **5**] Mt. 9: 22. — **9**] 2 Kön. 2: 23. — **12**] 2 Cor. 5: 10. — **13**] Gen. 3: 9. — **15/16**] Joh. 11: 34. — **20**] Lc. 8: 30.

4—6 Die Worte des Ad. fehlen im lat. T. | **10** *προσαγωγῆς* mit Wettst., *προαγ.* d. HSS. | **17** *Μεγέθιος* < C | **18** *Ἀδαμάντιος* < B¹ | **18f.** Der Verlauf der Rede bei Ruf. ist gewiss fehlerhaft. Die Worte »*quia hoc non uis*« hängen mit dem vorangehenden nicht zusammen, und Ad. hat nichts versprochen, wohl aber Meg. 810a »*de uestris scripturis ostendere possum*«. Zahn hat Recht, wenn er 810a mit Rufinus *ὑμετέρων* liest (Gesch. d. N. T. Kanon II 2 S. 421, Anm. 2), hier aber den gr. HSS. folgt. Nur ist *ἐπεὶ οὖν βούλει*, das er unberührt lässt, nicht richtig; der Sinn fordert die Einschaltung von *οὐ*, vgl. Ruf. Vor *ἐπεὶ* hat A: *Ἀδαμάντιος*, aber durchgestrichen | **19** *Χριστὸς*] *θεὸς* d. HSS. | **23** *ἀμφότερα* Wettst., *ἀμφότεραι* die HSS. | *ἄγνοιαι* C | **24** *τί σοι ὄνομα λέγειν* CFH Pic. Per., *τίς λέγει* d. übr. | **25** *τῷ*] *τοῦ* d. HSS. | **26** *γὰρ* < B¹ | **29** A in mg.: *ἴσως τοῦ παραδείσου.*

debant ad Christum, dicebatur eis ut secundum fidem mentis suae reciperent, etiam istos a propheta secundum mentis suae propositum recepisse, quippe si constat etiam apostolum dicere quod a Christo unusquisque recepturus sit prout gessit, siue bona, siue mala.

5 c. **XVII.** *Meg. d.*: Creator deus nesciebat ubi esset Adam. Dicit enim: *Adam, ubi es?* Christus autem etiam cogitationes hominum nouerat.

Ad. d.: Quomodo ergo et Christus dicit de Lazaro: *Ubi posuistis eum?* nisi quia et ipse ignorabat ubi esset positus.

Meg. d.: Non est scriptum sic in nostro euangelio, et scis quia 10 promisisti de nostro euangelio te quid dicis ostendere.

Ad. d.: Quia hoc non uis, quomodo interrogat Iesus daemonem: *Quod tibi nomen est?* Et ille respondit: *Legio.* Utique secundum te nesciebat et propterea interrogabat.

Meg. d.: Hoc non est simile.

15 *Eutr. d.*: Utrumque mihi uidetur ad ignorantiam pertinere, et illud quod dictum est: *Ubi es?* et hoc quod dictum: *Quod tibi nomen est?*

Ad. d.: Non quasi interrogans Deus dixit: *Adam, ubi es?* sed commonere eum uolens in qua beatitudine fuerit ante praeuaricationem et in quantam nunc confusionem ex praeuaricatione uenisset. Nudatum 20 quippe eum cunctis uirtutibus in recordationem sui reuocat, dicens: *Ubi es?* uide in quibus eras prius et in quibus nunc es, cum deliciis paradisi excidisti.

2 etiam istos — recepisse] Es sollte eigentlich »etiam isti a propheta .... reciperent« stehen, da »etiam« etc. von »Iustum est ut« abhängig ist. Der Umstand, dass zwischen diesen und jenen Worten eine ganze Reihe von Sätzen trat — die Sätze: »quemadmodum — reciperent« — scheint bewirkt zu haben dass der Übers. die Konstruktion, die er im Anfang der Rede im Sinne hatte, mit einer anderen vertauschte, wenn nicht etwa der Text fehlerhaft ist. — (Der Text ist gewiss fehlerhaft. Vielleicht muss »ut« nach »Iustum est« gestrichen werden. — B) | **3** »Si« Cod., »quia« Caspari. Unnötig; das »quippe si« führt die Begründung rhetorisch wie eine Bedingung ein. — B | Cod. dicire | **16** Cod. dicttū | **19** Cod. Nudatis. Der Fehler ist durch Einfluss des folgenden »cunctis uirtutibus« entstanden.

e *ΜΕΓ.* Πῶς οὖν ἐν τῷ νόμῳ λέγει· ἱμάτιον ἀνθ' ἱματίου, ὁ δὲ ἀγαθὸς κύριος λέγει· ἐάν τίς σου ἄρῃ τὸ ἱμάτιον, πρόσθες αὐτῷ καὶ τὸν χιτῶνα;

ΑΔ. Τοῦτο μὲν τὸ κεφάλαιον ὅμοιόν ἐστι τοῦ· ὀδόντα ἀντὶ 5 ὀδόντος· ἀλλ' ἵνα μὴ οἰηθῇς ἀργῶς ἡμᾶς πρὸς τὰς προτάσεις φέρε-816 σθαι, εἰ καὶ μάλιστα δικαστοῦ τόπον φθάσας κατείληφας ἐν | τῷ ἐπιφέρειν τὰς ἐκ τῶν γραφῶν ἐρωτήσεις· ὁ γάρ τοι ἐπιφέρων μείζων ἐστὶ τοῦ ἐπιλυομένου· τοῦτο τό· ἐάν τίς σου ἄρῃ τὸ ἱμάτιον ἐν μὲν τῷ εὐαγγελίῳ γέγραπται, ἐν δὲ τοῖς πατριάρχαις ἔργῳ γεγένηται. 10 Ἰωσὴφ ἀποδυθεὶς τὸ ἱμάτιον ὑπὸ τῶν ἀδελφῶν οὐ μόνον τὸν χιτῶνα προσδίδωσι, κατὰ τὸ λεχθὲν ἐν τῷ εὐαγγελίῳ, ἀλλὰ καὶ σιτία καὶ ἐν καιρῷ λιμοῦ τροφὰς καὶ ὅσα πλεῖστα [ὅσα] χρήματα. ἀλλὰ καὶ ἐν τῷ νόμῳ τοῦτο προστέτακται· ἐὰν λάβῃ σου ὁ ἀδελφὸς ἀργύριον [ἢ ἱμάτιον], τῷ ἑβδόμῳ μηνὶ καὶ τὸν τόκον καὶ τὸ κεφάλαιον b ἀφήσεις αὐτῷ [καὶ τὸν χιτῶνα].

ΜΕΓ. Ὁ προφήτης τοῦ θεοῦ τῆς γενέσεως λέγει· τὰ τόξα μου ἐντεταμένα καὶ τὰ βέλη μου ἠκονημένα, ὁ δὲ ἀπόστολός φησιν· ἐνδύσασθε τὴν πανοπλίαν τοῦ θεοῦ πρὸς τὸ δύνασθαι τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι.

20 *ΑΔ.* Καλὸν καλῷ οὐκ ἀντίκειται, οὔτε κακὸν κακῷ, οὔτε φῶς φωτί, οὔτε λευκὸν λευκῷ, ἀλλὰ τὸ μέλαν τῷ λευκῷ. πῶς τοίνυν οἴει ταῦτα ἀντικεῖσθαι τὰ τοῦ προφήτου καὶ τὰ τοῦ ἀποστόλου; ἢ ἀγνοεῖς ὅτι τόξα καὶ [ἡ] μάχαιρα καὶ θυρεὸς καὶ βέλη καὶ ὅπλα πάντα πολεμικά ἐστιν;

25 *ΕΥΤΡ.* Ὁ προφήτης τίνος ἦν, τοῦ δικαίου ἢ τοῦ πονηροῦ;

ΜΕΓ. Τοῦ δικαίου.

c *ΑΔ.* Πῶς οὖν πονηρὸν λέγει ὁ ἀπόστολος τὸν δίκαιον, λέγων· τὰ βέλη τοῦ πονηροῦ;

ΕΥΤΡ. Οὐ ταὐτόν ἐστιν.

1—3] Lc. 6: 29, Mt. 5: 40. — **4**] Exod. 21: 24, Lev. 24: 20. — **10—12**] Gen. 37: 23, 42: 25ff. — **13—15**] Deut. 15: 1—3, Exod. 22: 25, 26. — **16/17**] Jes. 5: 28, Deut. 32: 23. — **18/19**] Eph. 6: 13, 16.

4 τὸ ABCDEG, < d. Ausgg. | **12** ὅσα χρ. alle HSS., F ὅσα mit drei Punkten unter den drei Buchst., καὶ ὅσα G | **14, 15** ἢ ἱμάτιον u. τὸν χιτῶνα haben alle HSS. < lat. Übers. | **20–28** Die ganze Beweisführung ist nicht recht klar. Was am Ende οὐ ταὐτόν ἐστιν heissen soll, verstehe ich nicht. Rufins »*eadem sunt omnia*« heisst, w. e. sch.: Prophet und Apostel sagen dasselbe. Muss nach ἐστιν ein Fragezeichen stehen? Muss οὐ gestrichen werden? Ist ein Satz ausgefallen? Ich wage nicht zu entscheiden | **23** ἡ vor μάχαιρα in all. HSS. | **24** ἐστιν < E.

c. **XVIII.** *Meg. d.*: Quomodo in lege scriptum est auferri uestimentum pro uestimento, bonus autem dominus dicit: *Si tibi quis aufert tunicam, da ei et pallium*?

Ad. d.: Istud quidem caput simile est illi de quo superius diximus:
5 *Oculum pro oculo, dentem pro dente.* Uerum ne arbitretis nos non posse tuis propositionibus respondere, licet iam hoc non sit proprium disputationes proponere de scripturis et absolutiones requirere eorum quae scripta sunt, tamen de eo quod ais: *Si quis sustulerit tibi uestimentum* in euangeliis quidem ita scriptum est, in lege autem a patriarcha ita
10 gestum est. Ioseph namque, quum retentaretur per pallium, etiam tunicam reliquit in manibus exuentis, sicut in euangelio scriptum est. Sed et cibos proprios indigentibus diuisisse antiqui et famis tempore alimonias praebuisse referuntur. Uerum lex quidem siluit de huiuscemodi praecepto. Ita denique scriptum est: *Si acceperit frater tuus abs te pecu-*
15 *niam, anno septimo remittes ei usuram, et caput pecuniae foeneratae remittes ei.*

c. **XIX.** *Meg. d.*: Creator deus dicit: *Arcum meum extendam et sagittas meas consummabo in eos.* Apostolus uero dicit: *Induite uos arma Dei, ut possitis iacula maligni ignita exstinguere.*

20 *Ad. d.*: Bonum bono non est contrarium, neque malum malo, sicut nec lux luci (nec tenebrae tenebris), nec album albo, sed contrarium est album nigro. Quomodo ergo putas et haec sibi esse contraria quae dicit propheta et apostolus? An ignoras quia arcus et gladius et scutum et iacula et arma omnia ista instrumenta sunt bellica?

25 *Eutr. d.*: Propheta, cuius erat, iusti aut mali?

Meg. d.: Iusti.

Ad. d.: Quomodo ergo malignum dicit apostolus iustum, dicens iacula maligni ignita exstinguere?

Eutr. d.: Eadem sunt omnia.

6ff. Cod. »disputationis« (e über i); (Caspari liest »disputationis«, schaltet dann »quaestiones« ein und will nach »uestimentum« lesen »respondebo«. Der Text wird dadurch logisch zurechtgerückt, aber die Eingriffe sind nicht gerechtfertigt. »Proprium« kann sehr wohl absolut stehen. — B) | **14** »Acceperit« steht im Cod. doppelt, das eine Mal unterstrichen | **21** nec lux] »Nec« fehlt im Cod.

ΜΕΓ. Ὁ θεὸς τῆς γενέσεως ὑποχυθέντα τὸν Ἰσαὰκ οὐκέτι ἐποίησε διαβλέψαι, ὁ δὲ κύριος ἡμῶν, ἀγαθὸς ὤν, πολλῶν τυφλῶν ἤνοιξεν ὀφθαλμούς.

ΑΔ. Ἀγνοεῖς τὴν οἰκονομίαν τοῦ θεοῦ. ὁ οὖν δοὺς τῷ Ἀβραὰμ
5 παρὰ προσδοκίαν ἐπὶ τῷ γήρᾳ υἱούς, καὶ Τωβίᾳ χαρισάμενος τὸ βλέπειν, ἵνα μὴ πάντα τὰ μεγαλεῖα διεξερχόμενοι μηκύνωμεν τὸν λόγον, ἠδύνατο καὶ τὸν Ἰσαὰκ μὴ συγχωρῆσαι ὑποχυθῆναι. ἀλλ' ἐπεὶ ἔμελλεν ὁ Ἰσαὰκ τὸν Ἠσαῦ εὐλογεῖν, ἣν δὲ εἰρημένον τῇ Ῥεβέκκᾳ ὅτι
d ὁ μείζων δουλεύσει τῷ ἐλάττονι, διὰ τὸ μυστήριον τῶν δύο
10 λαῶν ὑπεχύθη, ὅπως ἄκων εὐλογήσῃ τὸν νεώτερον Ἰακώβ, τουτέστι τὸν μεταγενέστερον τῶν Ἰουδαίων λαὸν τῆς καθολικῆς ἐκκλησίας.

ΜΕΓ. Ἐκ τοῦ διωχθῆναι ἡμᾶς πολλάκις καὶ μισεῖσθαι οὐκ ἔστι φανερὸν ὅτι ἄλλου ἐσμὲν θεοῦ καὶ τοῦ τῆς γενέσεως ἀλλότριοι; λέγει γάρ· καρδία βασιλέως ἐν χειρὶ θεοῦ. δῆλον οὖν ὅτι αὐτὸς
15 ὁ τῆς γενέσεως θεὸς ἡμᾶς ἐδίωκεν ἀπὸ τοῦ ἐν χερσὶν ἔχειν τὰς καρδίας τῶν βασιλέων.

ΑΔ. Ταῦτα μέν, εἰ (πρὸ τούτων τῶν χρόνων) ἐσοφίζου, ὅπως ποτὲ εἶχε λόγον, εἶχε δὲ καὶ εὐχερῆ τὴν ἐπίλυσιν· οἴομαι δὲ ἀναρμόστως
e καὶ ἀπεπιτηδείως (τοῦ καιροῦ) σε προαγηοχέναι τοῦτο τὸ κεφάλαιον.
20 (νῦν δὲ τοῦ βασιλέως ὄντος θεοσεβοῦς, τί φῂς ἕτερον τὸν ἐν τοῖς πρὸ τούτου κατέχοντα τὰς καρδίας ἐκείνων καὶ διώκοντα, καὶ ἕτερον θεὸν τὸν κατέχοντα τὴν καρδίαν τούτου; κρεῖττον γὰρ καὶ τοὐναντίον τῶν βασιλέων ἐκείνων αὐτὸς βασιλεύει. ἃ γὰρ ἐκεῖνοι καθεῖλον αὐτὸς ἀνῳκοδόμησεν, οὓς ἐκεῖνοι ἐμίσησαν οὗτος ἠγάπησεν, οὓς ἐκεῖνοι ἐτίμων ναούς τε καὶ εἴδωλα αὐτὸς καθεῖλε.)
25 κατὰ σὲ οὖν ἄλλος θεὸς ἦν ἐν ἐκείνοις καὶ ἕτερος ἐν τούτῳ· πολλὴ ἐν τούτῳ ἄνοια. ἀλλ' οὐ μόνον ἡμεῖς (ἐδιώχθημεν), ἀλλὰ καὶ οἱ προφῆται πολλοὶ ἐμαρτύρησαν, ἀλλὰ καὶ οἱ τρεῖς παῖδες πρὸ τούτου. |
817 καὶ τοῦτό φησιν ὁ προφήτης· ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, (ὅθεν καὶ Παῦλος, τῇ αὐτῇ προφητικῇ φωνῇ χρησάμενος,
30 ἔλεγεν· ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν.*) ὁμοίως δὲ καὶ οἱ τοῦ Χριστοῦ μαθηταί, κατόπιν τῶν προφητῶν βαίνοντες, ὡσαύτως (ἐδιώκοντο)· ἀνάγκη σε ἀλλότριον εἶναι τοῦ κανόνος τῶν

5] Gen. 21: 2. Tob. 11: 9—12. — 7] Gen. 27: 1. — 9] Gen. 25: 23. — 14] Prov. 21: 1. — 27] Dan. 3: 13ff. — 28/29] Ps. 43: 22. — 30] Rom. 8: 36.

7 ἠδύνατο ABDEFH, ἐδύνατο d. übr. | 10 εὐλογήσει B¹ | 17, 20ff. Den ältesten, ursprünglichen Text finden wir bei Ruf. Ein gr. Überarbeiter hat den gr. Text geändert, um ihn den veränderten Zeitverhältnissen (der Regierung eines christlichen Kaisers) anzupassen. Daher schrieb er »πρὸ τούτων τ. χρ.«, τοῦ βασιλέως bis καθεῖλε, und machte aus διωκόμεθα, διώκονται die Praeterita ἐδιώχθημεν u. ἐδιώκοντο. S. Einl. § 5 | 18 εἶχε δὲ] εἶχε δὴ B¹ | 28 ἃ γάρ] γὰρ < B¹ | 29/30] in der lat. Übers., wohl propter homoeoteleuton, ausgelassen, s. d. Anm. Caspari's.

c. **XX.** *Meg. d.*: Deus legis excaecato Isaac non reddidit uisum. Dominus autem noster bonus multorum oculos aperuit non uidentium.

Ad. d.: Ignoras dispensationes dei. Qui enim Abrahae praeter tempus aetatis filium in senectute habere concessit et Tobiae reddidit uisum,
5 uti ne, omnia mirabilia enumerantes, sermonem protrahamus in longius, poterat et Isaac uisum restituere. Sed quoniam futurum erat ut Isaac benediceret Esau, Rebeccae autem iam dictum erat quia *maior seruiet minori*, propter testimonium duorum populorum aspectus eius suffunditur, ut fraus salutaris filii iunioris de benedictionibus praeripiendis tuto possit
10 admitti, in quo praeferendus priori populo ingrato posterior ecclesiae populus formabatur.

c. **XXI.** *Meg. d.*: Uel ex eo quod in persecutionibus sumus semper, manifestum debet esse quod alterius dei sumus, contrarii huius qui fecit mundum et odit nos cum suo mundo. Denique sic scriptum est, quia
15 *cor regis in manu dei est*, huius scilicet qui praeest huic regno et habet in manu sua cor regis et inclinat illud ad persequendum nos.

Ad. d.: Haec quidem, si (de uno aliquo tempore*) commentari posses, uiderentur fortasse habere aliquid uerisimile, licet facile etiam istud posset absolui. Nunc autem ualde inconuenienter caput obiectionis istius
20 protulisti. (Secundum etenim hanc rationem quam dicis omnes reges, quippe quorum cor in manu eius dei sit qui aduersatur boni dei famulis et fauet his qui sui sunt, deberent omnes omnino persequi Christianos, nec unquam aliud agere posteriorem liceret quam egit prior. Nunc autem uidemus quod alios oderat ille qui prior fuit, et alios
25 diligit iste qui nunc est. Nam et Cyrus templum dei in Hierosolymis aedificauit, quod alii nihilominus reges postmodum destruxerunt*.) Quid ergo? Alius in illo erat deus, alius in istis? Satis hoc stultum est. Sed nec nos soli persecutionem (patimur*). Et prophetae eadem passi sunt, et multi ex ipsis martyres extiterunt, et tres pueri martyrium pertule-
30 runt, licet mirabiliter Dei uirtute liberati sunt. (Machabaei tamen consummatum martyrium cum sanguinis profusione duxerunt*.) Sed et propheta dicit: *Propter te morte afficimur tota die.* Similiter autem et

1 Das zweite »di« in »reddidit« ist durchstrichen, als hätte der Schreiber »reddit« in seiner Hs. gelesen | **2** Cod. bo(b)nus n(a)oster | **5** »ne« in »utine« steht im Cod. über der Zeile | **8** testimonium] So der Cod. Der gr. Text μυστήριον, mysterium, ohne Zweifel das Rechte. Ruf. muss μαρτύριον gelesen haben | **9** fraus] Cod. frustra | Cod. bedictionibus | **11** formabatur] So der Cod. Praeformabatur? (M. E. unnötig. — B) | **15** dei est] Cod. dei deest, mit einem Strich unter »de« von »deest« | **19** Cod. posse | **21** Cod. bonis. — B | **24** Cod. aliquos oderat | **29** »martyres« — B, »maiores« Cod. | **31** duxerunt] So der Cod. Tulerunt? Pertulerunt? | **32** Cod. prophete | Nach diesem Citate müssen notwendig die Worte: »Unde et Paulus eadem uoce prophetica usus dixit: *Propter te morte afficimur tota*

διωχθέντων προφητῶν καὶ δικαίων, ἀποστόλων τε καὶ τῶν διωκομένων διὰ Χριστὸν μαθητῶν.

ΕΥΤΡ. Πῶς οὖν ⟨ὁ ἀπόστολος⟩ ἀποκέχρηται τοῖς προφήταις; εἰ γὰρ οἱ προφῆται λέγουσι καὶ αὐτὸς ὁμοίως, δῆλον ὅτι οὐκ ἄκυροι, ἀλλ' ὥσπερ καλοῖς καὶ νομίμοις κέχρηται.

ΜΕΓ. Οὐδενὶ ῥητῶς ἀποκέχρηται τῶν ἀρχαίων· ἀμήχανον.

ΑΔ. Δείκνυμι ἐν πολλοῖς λέγοντα τὸν ἀπόστολον καὶ ἐπικυροῦντα καὶ οὐκ ἀποβάλλοντα. λέγει γὰρ ἐν τῇ πρὸς Κορινθίους πρώτῃ ἐπιστολῇ· ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ· ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη σοφία ἡμῖν ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, ἵνα καθὼς γέγραπται· ὁ καυχώμενος ἐν κυρίῳ καυχάσθω. ἀκριβέστερον δὲ ἐν τῇ αὐτῇ ἐπιστολῇ ἐμφαίνει, λέγων· τίς ποιμαίνει ποίμνην καὶ ἐκ τοῦ γάλακτος οὐκ ἐσθίει; μὴ κατ' ἄνθρωπον ταῦτα λαλῶ, ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται· οὐ φιμώσεις βοῦν ἀλοῶντα. μὴ τῶν βοῶν μέλει τῷ θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; δι' ἡμᾶς γὰρ ἐγράφη ὅτι ὀφείλει ἐπ' ἐλπίδι ὁ ἀροτριῶν ἀροτριᾶν.

ΜΕΓ. Οἶδας ὅτι Μωσέως νόμον εἶπεν, οὐ τοῦ θεοῦ.

ΕΥΤΡ. Οἶδα ὅτι Μωσέως νόμον εἶπεν, ἀλλ' ἐκύρωσεν εἰπών· μὴ περὶ τῶν βοῶν μέλει, φησί, τῷ θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; δι' ἡμᾶς γὰρ ἐγράφη. ὁρᾷς ὅτι κυροῖ καὶ ὡς καλῶς κειμένῳ κέχρηται. οὐδεὶς γὰρ σαπρῷ νόμῳ κέχρηται πρὸς ἀπόδειξιν ἢ φαύλῳ, ἀλλὰ κρείττονι καὶ τελείῳ· ὡς γὰρ σύ, βουλόμενος συνιστᾶν τὰ ὑπὸ σοῦ λεγόμενα, Παύλῳ κέχρησαι μάρτυρι, ἵνα βέβαια ᾖ τὰ ὑπὸ σοῦ λεγόμενα, οὕτω καὶ ὁ ἀπόστολος ἀπεχρήσατο μάρτυρι τῷ νόμῳ.

ΜΕΓ. Ἐγὼ ἐκ τῶν γραφῶν δείξω ὅτι ἄλλος ἐστὶν ὁ τοῦ Χριστοῦ πατήρ, καὶ ἄλλος ὁ δημιουργός. ὁ δημιουργὸς ἐγνώσθη τῷ Ἀδὰμ καὶ τοῖς κατὰ καιρόν, ὡς ἐν ταῖς γραφαῖς δηλοῦται· ὁ δὲ τοῦ Χριστοῦ πατὴρ ἄγνωστός ἐστιν, ὡς αὐτὸς ὁ Χριστὸς ἀπεφήνατο, περὶ αὐτοῦ

9—12] 1 Cor. 1: 29—31. Jer. 9: 23. — **13—19**] 1 Cor. 9: 7—10.

3 *ὁ ἀπόστολος* < d. gr. HSS., es muss aber, wie aus d. lat. Üb. erhellt, hinzugefügt werden. Sonst würde *ἀποκέχρ.* kein Subjekt haben. Die Auslassung kann durch den gleichlautenden Anfang veranlasst sein | **4** *ἄκυροι*] *εὗροι* d. HSS. u. Ausgg. *οὐκ εὗροι* B[1]. Vgl. unten 817b *τὸν ἀποστ. ἐπικυροῦντα*, 817c *ἐκύρωσεν* | **13** *αὐτῇ*] *αὐτοῦ* F | **14** *ποίμνην* B (*ποιμνὴν*) DE, *ποίμνηον* C, *ποιμὴν* d. übr. | **25** *ὡς γὰρ* FH, *εἰ γὰρ* d. übr. | *σὺ βουλόμενος*] *συμβουλ.* A (mit *σὺ* über d. Z.) B[1]DE, *σὺ συμβουλόμενος* C.



Christi discipuli, exempla prophetarum sequentes, persecutionum saeuitiam (tolerant*). Una igitur nobis eademque cum prophetis de persecutionibus causa est.

c. **XXII.** *Eutr. d.*: Quomodo et apostolus sermonibus utitur pro-
5 phetarum? Si eadem dicit quae prophetae ante dixerunt, certum est quia non in irritum uocat, sed tanquam bonis eis et legitimis utitur.

Meg. d.: Nullo prorsus antiquorum sermone utitur Paulus.

Ad. d.: Ostendo in multis Apostolum dicentem et utentem prioribus scriptis. Ait enim in epistola ad Corinthios prima: *Ut non glorietur*
10 *omnis caro coram ipso. Ex ipso enim uos estis in Christo Iesu, qui factus est nobis sapientia a deo et iustitia et sanctificatio et redemptio, ut, sicut scriptum est, qui gloriatur in domino glorietur.* Et adhuc manifestius in eadem epistola ostendit, dicens: *Quis pascit gregem et ex lacte eius non manducet? Numquid secundum hominem dico, an et lex haec dicit? In*
15 *lege Moysi scriptum est: Non infrenabis os boui trituranti. Numquid de bubus cura est deo? An propter nos utique dixit? Propter nos enim scriptum est quia debet qui arat sub spe arare.*

Meg. d.: Scis quia legem Moysi dixit et non dei.

Eutr. d.: Sed uides quia, ut dixit, legem statim confirmauit ex
20 consequentibus, dicens: *Numquid de bubus cura deo? an propter nos utique dicit? Propter nos utique scriptum est.* Uides ergo quia confirmat dei esse sermonem et propterea eo utitur. Nemo enim lege utitur, quam improbat.

c. **XXIII.** *Meg. d.*: De scripturis ego ostendam quia alius pater
25 Christi et alius creator, qui cum Adam locutus est uel cum caeteris quos refert scriptura, quibus et innotuit. Christi autem pater nulli co-

die«, oder Worte gleichen Inhalts ausgefallen sein, da sie Eutropius im folgenden voraussetzt, vgl. den griech. Text. Der Ausfall wurde durch das Homoeoteleuton: »*Propter te morte afficimur tota die*« hervorgerufen.

5 Caspari schliesst die Frage bei »dixerunt«. — B | 6 eis] Cod. eius | 14 manducet] »*Und möchte nicht essen*«. *Manducat*? Der griech. Text, It (Codd. u. Citate bei den Vätern) und Vulg. haben alle den Indikativ | 18 dixit] Cod. dixisti. »Dixit« verlangt der Zusammenhang. Auch hat der gr. T. εἶπεν | 22 Cod. legem. Nach unmittelbar vorangehendem »et propterea eo utitur« erwartet man »lege«. An und für sich könnte »legem« stehen.

εἰπών· οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱός, οὐδὲ τὸν υἱόν τις γινώσκει εἰ μὴ ὁ πατήρ.

ΑΔ. Πάνυ δυσνοήτως φέρῃ περὶ τὰς γραφάς· οἴει γὰρ μόνον
e ὑπὸ τοῦ σωτῆρος λελέχθαι τοῦτο. ἄκουε Ἠσαΐου λέγοντος· ἔγνω
5 βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ. Ἰσραὴλ δέ με οὐκ ἔγνω καὶ ὁ λαός με οὐ συνῆκεν. καὶ Ἱερεμίας λέγει ὡς πάλαι μὴ γνωσθέντα αὐτόν· λέγει γάρ· πάντες με γνώσονται ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν.

ΜΕΓ. Πῶς οὖν ἐν τῷ Ἰεζεκιὴλ λέγει· ἐπεγνώσθην τοῖς πα-
10 τράσιν ὑμῶν ἐν τῇ ἐρήμῳ.

ΑΔ. Οὐκ ἤδη διὰ τὸ τὸν Ἰεζεκιὴλ φῆσαι· ἐπεγνώσθην τοῖς πατράσιν αὐτῶν, καὶ αὐτοὶ ἔγνωσαν αὐτόν· καὶ γὰρ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, τοσούτῳ χρόνῳ συνδιατρίβων τοῖς μαθηταῖς, ἔλεγεν· οὐδεὶς γινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ· καίτοι ὑπὸ πάντων
f 15 ἑωρᾶτο, ἀλλ' οὐκ ἐγινώσκετο. λέγων· ἀναχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οὐδέποτε ἔγνων ὑμᾶς, μὴ ὁ καρδιο-
818 γνώστης οὐκ ἐπέγνω αὐτούς; ἀλλ' οὐχ ὡς ἐβούλετο ἐπολιτεύοντο· | τὸ γὰρ συνιεῖν γινώσκειν λέγεται, ὡς καὶ ὁ Δαυΐδ· οἱ πατέρες ὑμῶν οὐ συνῆκαν τὰ θαυμάσιά μου ἐν γῇ Χαναάν, καίτοι εἶδον. οὔτε
20 γὰρ ἐκ τοῦ θεωρεῖν ἤδη καὶ τὸ συνιεῖν παράκειται. φανερῶς εὑρίσκῃ μὴ μόνον προφήταις ἀντιλέγων, ἀλλὰ καὶ τῷ εὐαγγελίῳ· τοῦ γὰρ Χριστοῦ ὑπὸ πάντων θεωρουμένου ἀναφανδὸν καὶ λέγοντος· οὐδεὶς οἶδε τὸν υἱόν, ὑμεῖς ἐναντίους τοὺς προφήτας οἴεσθε. σαφῶς τοίνυν καὶ ὁ Χριστὸς καὶ οἱ προφῆται ἐμήνυσαν περὶ γνώσεως θεοῦ καὶ
25 ἀγνωσίας.

ΕΥΤΡ. Δῆλον ὅτι τὸ συνιεῖν γινώσκειν αἱ γραφαὶ λέγουσιν. ὁπότε γὰρ ὁ προφήτης λέγει· Ἰσραὴλ δέ με οὐκ ἔγνω καὶ ὁ λαός
b με οὐ συνῆκεν, ὁμῶς [δὲ] καὶ ὁ Χριστός, συνδιατρίβων τοῖς μαθηταῖς ἔλεγεν· οὐδεὶς οἶδε τὸν υἱὸν εἰ μὴ ὁ πατήρ. ἀλλὰ καὶ συνὼν
30 ἔλεγεν αὐτοῖς· οὐδέποτε ἔγνων ὑμᾶς.

1/2] Mt. 11: 27, Lc. 10: 22. — 4—6] Jes. 1: 3. — 7/8] Jer. 31: 34. — 9/10] Ezech. 20: 5. — 14] Mt. 11: 27, Lc. 10: 22. — 15/16] Mt. 7: 23. — 18/19] Ps. 105: 7. — 27/28] Jes. 1: 3. — 29] Mt. 11: 27 — 30] Mt. 7: 23.

7 πάλαι Th. Gale in Wettsteins Addenda z. s. Ausg., πάλιν d. HSS. »olim« Humfr. | 11 φῆσαι· ἐγνώσθην d. HSS.; der Verf. stellt aber offenbar ἐπιγινώσκειν und γινώσκειν einander gegenüber | 28 ὁμῶς] die HSS. u. Ausgg. ὅμως. Ich habe δὲ gestrichen, das durch die falsche Lesart ὅμως hervorgerufen worden war.

gnitus est, sicut ipse Christus pronuntiat, de se dicens: *Nemo nouit Patrem nisi solus filius, neque filium quis nouit nisi pater.*

Ad. d.: Ualde inconsequenter scripturis sanctis abuteris. Putas enim hoc a solo saluatore dictum. Audi et Esaias quid dicit: *Agnouit* 5 *bos possessorem suum, et asinus praesepe domini sui, Israel uero me non cognouit et populus me non intellexit.* Et Hieremias dicit: *Et non cognoscent me a minimo usque ad maximum eorum.*

Meg. d.: Quomodo ergo Ezechiel dixit: *Et agnitus sum patribus uestris in deserto?*

10 *Ad. d.*: Non ex eo quod Ezechiel dixit agnitum eum esse a patribus, etiam illis qui tunc erant notum eum esse confirmat. Nam et dominus noster Christus, cum tanto tempore fuisset cum discipulis, dicebat; *Nemo nouit filium nisi pater.* Et quidem uidebatur ab omnibus, sed non cognoscebatur. Uis autem uidere magnificentiorem uerbi figuram? Ipse 15 dominus et saluator dicit ad peccatores: *Discedite a me qui operamini iniquitatem, quoniam non noui uos.* Numquid ille, qui corda omnium nouit, ignorabat eos? An propterea haec dicit, quia sibi eorum conuersatio displicebat? Intellegere etenim agnoscere dicitur, sicut et Dauid dicit: *Patres uestri non intellexerunt mirabilia mea in terra Canaan.* Non enim ex eo quod uidetur, sed ex eo quod intellegitur, quis nosci dicitur uel rursum, si non intellegitur, ignorari. Et ideo manifestissime inueniris non solum prophetis, uerum et euangeliis contradicere, ubi Christus, qui ab omnibus uidebatur, dicit quia: *Nemo nouit filium.* Et quomodo contrarios esse prophetas euangeliis dicitis, cum eadem et prophetae et 25 Christus in euangeliis de dei agnitione pronuntient?

6 Jer. 31: 33, wo es aber umgekehrt »*et cognoscent me*« etc. heisst. So auch unser gr. T. *με γνώσονται.* Der Sinn des Citats in dem letzteren scheint zu sein, dass aus dem »*cognoscent*« des Jeremias folge dass Israel zur Zeit dieses Propheten den Herrn nicht gekannt habe, und das »*non*« im Cod. scheint daher zu rühren, dass Rufins Vorlage, oder dieser selbst, oder endlich ein Abschreiber seiner Übers., die Argumentation des Verf.'s nicht verstehend, das negative Adverbium in der Meinung hinzugefügt hat, es müsse in dem Citat, ebenso wie in dem vorangehenden aus Jesaias, ein Nichtkennen des Herrn von Seiten Israels direkt ausgesagt sein. Oder sollte etwa: »*et non cognoscunt*« zu lesen sein? Dann würde der Verf der Schrift, oder der Urheber der Vorlage Rufins, oder dieser das von Jer. gebrauchte Fut., um die in den Worten des Propheten liegende Thatsache direkt auszudrücken, in das Präs., und ein Abschreiber der rufinischen Übers. dieses wiederum in das aus der It. oder Vulg. bekannte Fut. verwandelt haben. (Ich glaube nicht, dass eine so verwickelte Lage anzunehmen ist. Aus der Auslassung von *πάλαι* (s. d. griech. Text) geht m. E. deutlich hervor, dass Ruf. die Argumentation nicht verstanden hat. Vielleicht hat er schon *πάλιν* gelesen. — B) | **19** Cod. in terra in terra, die zwei letzten W. unterstrichen | **20** quis] Quid? | Cod. discitur, der Buchst. »s« unterstrichen | **21** »Inveniri istud« Cod. (»invenitur istud« Caspari, »inveniris« oder »inveniris tu«, cf. *εὑρίσκῃ* — B).

ΜΕΓ. Ἐναργεστέρα μοί ἐστιν ἀπόδειξις τοῦ μὴ εἶναι υἱὸν τοῦ δικαίου τὸν Χριστόν· ὁ γὰρ τοῦ νόμου οὔπω ἐλήλυθε. εἰ γὰρ ἦλθεν, ἐπληροῦτο ἂν τὰ εἰς αὐτὸν ὑπὸ τοῦ Δαυὶδ κηρυχθέντα, λέγοντος· ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν
5 οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ, καὶ πάλιν· αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη, τὴν κληρονομίαν σου,
c καὶ τὰ ἑξῆς· ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ. ἐκ τούτου δείκνυται ὅτι ὁ ἐλθὼν Χριστὸς ἄλλος ἐστίν, ἐκ τοῦ μήτε βασιλεῖς
10 μήτε ἄρχοντας γενέσθαι κατ' αὐτοῦ, μήτε ἔθνη ποιμανθῆναι ἐν ῥάβδῳ σιδηρᾷ.

ΑΔ. Οἱ βασιλεύειν δοκοῦντες ἐν τῷ Ἰσραὴλ καὶ ἄρχειν καὶ ἔχοντες ἐξουσίαν θανατοῦν καὶ σώζειν πάντες κατὰ τοῦ Χριστοῦ παρεγένοντο. καὶ ὅτι ῥάβδῳ σιδηρᾷ ἐποιμάνθησαν ἀποδεικτέον κατὰ τὴν προφη-
15 τείαν τοῦ Δανιήλ, λέγοντος· μετὰ τὴν χρυσῆν καὶ ἀργυρᾶν καὶ χαλκῆν ἐγερθήσεται βασιλεία σιδηρᾶ, ἥτις δέδεικται οὖσα τῶν
d Ῥωμαίων, δι' ἧς ἐποιμάνθησαν οἱ κατὰ Χριστοῦ γεγονότες· τὰ γὰρ ἔθνη εἰς κληρονομίαν αὐτῷ ἦν δεδομένα, περὶ ἧς κληρονομίας λέγει ὁ Δαυίδ· κύριε, μνήσθητι ἡμῶν ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου·
20 ἐπίσκεψαι ἡμᾶς ἐν τῇ σωτηρίᾳ τοῦ ἔθνους σου, (τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου. δῆλον οὖν ὅτι αὕτη ἐστὶν ἡ κληρονομία τῶν ἐθνῶν ὧν ᾐτήσατο.*)

ΕΥΤΡ. Εἰ μὴ βασιλέων καὶ ἀρχόντων ἐξουσία παρῆν, πῶς οἷόν τε ἦν σταυρωθῆναι τὸν Χριστόν;

4—6] Ps. 2: 1, 2. — **7/8**] Ps. 2: 8, 9. — **15/16**] Dan. 2: 40. — **19—21**] Ps. 105: 4, 5.

2 d. HSS. ἐληλύθει, der Sinn fordert das Perf., Ruf. »*uenit*« | **14** ἀποδεκτέον AB[1]EFH | **15** τοῦ vor Δανιήλ < FH | **21** οὖν < G.

Eutr. d.: Manifestum est quia intellegentiam pro scientia vel agnitione scripturae ponere uidentur, cum dicit propheta quia: *Israel me non cognouit et populus me non intellexit.* Similiter et Christus cum discipulis positus dicebat quia: *Nemo nouit filium, nisi pater*, et rursum his, cum
5 quibus erat, dicebat: *Non noui uos.*

c. **XXIV.** *Meg. d.*: Habeo ualidissimas propositiones, quibus ostendam Christum non esse filium iusti dei creatoris, cuius Christus necdum uenit. Si enim uenisset, sine dubio fuisset expletum illud quod de eo prophetauerat Dauid: *Quare fremuerunt gentes et populi meditati sunt*
10 *inania? Astiterunt reges terrae et principes conuenerunt in unum aduersus dominum et aduersus Christum eius.* Et rursum: *Pete a me et dabo tibi gentes haereditatem tuam et reges eos in uirga ferrea.* Ex hoc ergo approbatur quod Christus hic, qui uenit, alius est, quia neque reges, neque principes insurrexerunt aduersus eum, neque gentes in uirga ferrea regit.
15 *Ad. d.*: Quicunque uidebantur esse reges in Israel et habentes potestatem uitae et mortis, omnes aduersus Christum conuenerunt. Et quia in virga ferrea gentes gubernantur, ostenditur in prophetia Danielis, dicentis post aureum et argenteum et aereum exsurgere regnum ferreum, quod regnum sine dubio Romanorum est, in quo regno reguntur
20 gentes quas sibi Christus in haereditatem dari poposcit. (Sed et sermo correptionis, quia unusquisque ab eo redarguitur pro peccato et ⟨ut⟩ uas figuli confringitur per poenitentiam et carnis interitum ut spiritus saluus fiat, uirga ferrea nominata est.) Sed et alibi dicit: *Domine, memor esto nostri in beneplacito tuo, uisita nos in beneplacito gentis tuae.*

4 »positus« verstehe ich nicht; es scheint mir korrupt zu sein, ich finde aber keine leichte Emendation. — B | 8 uenit] Cod. enit mit »u« über dem »e« | 12 »Eos« geht auf »terminos« in dem ausgelassenen zweiten Hemistich von Ps. 2: 8 »*et possessionem tuam terminos terrae*« zurück. Doch könnte es sich auch auf alle Einzelnen in den »gentes« beziehen. Vgl. das »*euntes ergo docete omnes gentes, baptizantes eos*« etc. Mt. 28: 19 | 17 gentes] Cod. reges | 21 quia] Casp. quo — B | Cod. et uas figuli. Möglich auch, dass das ausgefallene Wort »tanquam« war, was wir Ps. 2: 9 in den Psalt. finden, während Hieronymus' eigene Übers. daselbst »ut« hat | 22 Cod. confringetur | in oder ad statt »et« liest Caspari nach der lat. Bibel, aber die Konjektur ist unnötig. — B | 20—23 Die Worte »sed et sermo — nominata est« finden sich nicht im gr. T. und sind entweder von Rufin oder von einem späteren hinzugefügt. Sie geben eine zweite Erklärung der von Meg. angeführten Stelle Ps. 2, erklären aber die *nicht* von ihm angeführten Worte *ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς*. Der Verfasser dieser Erklärung scheint an Stellen wie Apoc. 19: 15, 2: 27 gedacht zu haben. — B | 23 »Nominata« ist vielleicht nicht durch »uirga ferrea« hervorgerufener Textfehler, sondern durch Attraktion entstanden. Diese lag hier um so näher, als »sermo« so fern steht | 23/24 Die an sich nicht klare Beweisführung des gr. Schriftstellers ist in Ruf.'s Übersetzung ganz unverständlich geworden: die Worte, auf die es ankommt »*τοῦ ἐπαινεῖσθαι μετὰ τῆς κληρονομίας σου* sind ausgelassen. — B.

ΜΕΓ. Δανιὴλ λέγει· εἶδον, καὶ ἰδού, λίθος ἐτμήθη ἐξ ὄρους ἄνευ χειρῶν καὶ ἐπάταξε τὴν εἰκόνα [ἄνευ χειρῶν], καὶ ἐποί-
e ησεν αὐτὴν ὡς κονιορτὸν καὶ ἐξεφυσήθη ὑπ' ἀνέμου. ὁ λίθος ἦν ⟨ἡ⟩ ἐκ θεοῦ βασιλεία ἐν δόξῃ φαινομένη καὶ ἡ εἰκὼν ἡ ἐπὶ τῆς
5 γῆς βασιλεία [συστήκειν]. Δείκνυται οὖν τὸν διὰ νόμου καὶ προφητῶν Χριστὸν μηδέπω ἐληλυθέναι· εἰ γὰρ ἐληλύθει, οὐκ ἂν ἦν ἑτέρα βασιλεία ἐπὶ τῆς γῆς, ὡς ἐμήνυσε Δανιήλ. ἐκ δὲ τοῦ πάσας τὰς βασιλείας συστήκειν δείκνυται μήπω ἐληλυθὼς ὁ διὰ νόμου καὶ προφητῶν Χριστός.

10 *ΑΔ.* Τὰ δικαίως ἐν ταῖς γραφαῖς εἰρημένα βούλει ἀδίκως νοεῖν· οἱ γὰρ προφῆται καὶ τὸ εὐαγγέλιον δύο Χριστοῦ παρουσίας διασαφοῦσι, μίαν ἐν ταπεινοφροσύνῃ, τὴν πρώτην, καὶ τὴν μετὰ ταῦτα ἐν
f δόξῃ. περὶ μὲν οὖν τῆς πρώτης Ἠσαΐας οὕτως εἶπεν· εἴδομεν αὐτὸν καὶ οὐκ εἶχε κάλλος οὔτε εἶδος, ἀλλὰ τὸ εἶδος αὐτοῦ
15 ἄτιμον, ἐκλεῖπον ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων. καὶ πάλιν· ἰδοὺ ὁ παῖς ὃν ᾑρέτισα, ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησεν ἡ ψυχή μου· οὐκ ἐρίσει οὐδὲ κραυγάσει ἐν ταῖς πλατείαις, κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τετυφωμένον οὐ
819 σβέσει. καὶ | πάλιν· χαῖρε, θύγατερ Ἱερουσαλήμ, σφόδρα, κή-
20 ρυσσε, θύγατερ Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται πραΰς, ἐπιβεβηκὼς ἐπ' ὄνον, ὡς ἐν τῷ εὐαγγελίῳ δεδήλωται ὅτι καθίσας ἐπ' ὄνου εἰσῆλθεν εἰς Ἱερουσαλήμ. τηλαυγὲς οὖν τὸ ποτὲ μὲν ἐν δόξῃ, ποτὲ δὲ ἐν πραΰτητι· οἶδε δὲ τὴν ἐν δόξῃ καὶ Παῦλος ὁ ἀπόστολος, λέγων· ἐν κελεύσματι θεοῦ, ἐν φωνῇ ἀρχαγγέλου, ἐν
25 τῇ ἐσχάτῃ σάλπιγγι καταβήσεται κύριος ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐγερθήσονται πρῶτοι, ἔπειτα καὶ ἡμεῖς οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν αὐτοῦ ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν αὐτοῦ· καθὼς καὶ ὁ Δανιὴλ
b λέγει· εἶδον ὡς υἱὸν ἀνθρώπου διὰ τῶν νεφελῶν ἐρχόμενον.

1—3] Dan. 2: 34, 35. — **13—15**] Jes. 53: 2, 3. 52: 14. — **16—19**] Jes. 42: 1—3. — **19—21**] Zach. 9: 9. Vgl. Jes. 40: 9f., 62: 11. — **21**] Mt. 21: 7. — **24—28**] 1 Thess. 4: 16, 17. — **29**] Dan. 7: 13.

2 Das zweite ἄνευ χειρῶν < ABDFGH Pic. Humfr. | **4** ἡ vor ἐκ θεοῦ < d. HSS. | **5** συστήκει ABCFH, συστήκειν d. übr., συστηκυῖα Th. Gale bei Wettst. Wettst. streicht das Wort und vermutet dass des Abschreibers Auge abgeirrt sei auf die Worte πάσας τὰς βασιλείας συστήκειν, die bald folgen. Es fehlt bei Pic. | **12** ἐν δόξῃ] ἔνδοξον d. HSS.; vgl. 819a, b. Ruf. »*in gloria*« | **16** ηὐδόκησεν B | **22** δηλαυγὲς ACD hier u. weiter | **23** πραότητι FH | τὴν ἐν δόξῃ ABCDE, τὸν ἐ. δ. d. übr. τὴν δευτέραν καὶ ἔνδοξον Anast. s. Einl. § 10 | **26** πρῶτον E.

Eutr. d.: Nisi regum et principum potestas fuisset, quomodo poterat Christus crucifigi?

c. **XXV.** *Meg. d.*: Daniel dicit: *Uidi, et ecce lapis excisus est de monte sine manibus et percussit imaginem et fecit eam quasi puluerem, qui ex-*
5 *sufflatus est a uento.* Lapis autem erat regnum a Deo gloriosum, et imago terrenum indicat regnum. Unde ostenditur quia is qui per legem et prophetas annuntiatus est, Christus, nondum uenit. Si enim uenisset, nunquam aliud regnum esset in terris, sicut indicat Daniel. Ex eo autem, quod omnia regna ⟨in⟩ sua incolumitate perdurant, constat non-
10 dum adesse illum Christum regem qui per legem et prophetas annuntiatus est esse uenturus.

Ad. d.: Quae recte in scripturis sanctis dicta sunt non recte uis intellegi. Lex enim et prophetae non duos Christos uenire dicunt, sed unius Christi duos aduentus indicant, unum in humilitate, primum, alte-
15 rum in gloria, secundum. Et de primo aduentu dicit Esaias: *Uidimus eum, et non habuit speciem neque decorem, sed species eius despecta et deficiens supra filios hominum.* Et iterum: *Ecce puer meus quem elegi, dilectus meus in quo complacuit animae meae, non contendet, neque clamabit, neque audiet quis in plateis uocem eius. Calamum contritum non con-*
20 *fringet et linum fumans non extinguet.* Et iterum: *Laetare filia Hierusalem ualidissime, praedica filia Sion! Ecce rex tuus uenit tibi mitis super asinam*, sicut et in euangelio scriptum est quia sedens super asinam introiuit Hierusalem. Manifestum est autem quod et in gloria et in humilitate a prophetis dicitur aduenturus. Sed et Paulus apostolus eui-
25 dentius indicat, de secundo in gloria aduentu dicens: *In iussu dei, in uoce archangeli, in nouissima tuba descendet de coelis, et mortui resurgunt primi, deinde nos qui uiuimus, qui reliqui sumus in aduentu eius, simul cum ipsis rapiemur in nubibus obuiam Christo in aëra*, sicut et ante Daniel dixit: *Uidi quasi filium hominis in nubibus uenientem.* Sed et

Marc. d.: Uetus mandatum legis est creatoris, nouum autem boni dei. *Nemo* enim, inquit, *assuit pannum rudem ad uestimentum uetus.*

20 *Ad. d.*: Quomodo nouus pannus a ueteri alienus uidebitur aut longe discrepans, cum utique una atque eadem inderetur in utroque substantia, quia utrumque ex lana pecoris constat esse contextum et in utroque unum opus esse textrini. Iam uero uini species quis dubitat quod et noui et ueteris una eademque sit et utraque de uite? Et ⟨ut⟩ mani- 25 festius omnes intellegant quomodo in nullo a se discrepet utrumque mandatum, ex eo quod dictum est: *Mandatum nouum do uobis ut inuicem diligatis*, lego et ea quae in lege scripta sunt: *Diliges*, inquit, *deum dominum tuum ex toto corde tuo,* et secundum: *et proximum tuum sicut te ipsum.*

30 *Marc. d.*: Quomodo ergo apostolus dicit: *Si qua in Christo, noua creatura*; *uetera transierunt, ecce facta sunt omnia noua?*

2 Cod. procedit. Der gr. T. παρίτω | in mediō] Vielleicht ist »mediō« nur Schreibversehen für: »mediū«, oder soll der Strich über »o« anzeigen, dass »medium«, nicht »medio« zu lesen sei | 3 Conuincat? Doch ist es nicht gerade nötig so zu lesen | **21** Cod. indiretur | **22** Cod. utrosque | **24/25** Cod. Et manifestius omnes intellegunt | **27** lego] Cod. lege | diliges] Cod. diligis.

d *ΑΔ.* Δεῖξον ποίαν κτίσιν καινὴν ἔκτισεν, ἢ ποῖον οὐρανὸν καινὸν ἢ ποίαν γῆν καινήν, ποῖον δὲ ἄνθρωπον καινόν. ἢ οὐ νοεῖς ὅτι τῆς αὐτῆς οὐσίας ὑφεστώσης, τὰ παλαιὰ ἀνανεούμενα καινὰ προσαγορεύεται;

5 *ΕΥΤΡ.* Τὰ καινὰ τῶν παλαιῶν οὐ ξένα τῇ ὕλῃ ὑπάρχει, οὐδ' ἀλλότρια· ὡς εἴ τις βούλοιτο τὸ παλαιωθὲν τῶν σκευῶν ἀναπλάσαι καὶ αὖθις χρησάμενος τῇ τέχνῃ ἀνασκευάσαι καὶ καινουργῆσαι τὸν ἄργυρον, οὐ λέξει ξένον εἶναι τῇ ὕλῃ τὸ καινὸν τοῦ παλαιοῦ. καὶ ἣν ἔδοξας ξένην καὶ καινὴν προφέρειν ἀπόδειξιν εὑρεθήσεται ἐν τῷ 10 νόμῳ γεγραμμένη, καὶ ἀνόητον τὸ λέγειν ξένον θεὸν καὶ ξένα δογματίζοντα.

e *ΑΔ.* Ἐκδηλότερον ἐπιστήσει σε Παῦλος ὅτι πλήρωμα τοῦ νόμου ἐστὶν ἡ ἀγάπη· καί, εἰ βούλει, ἀναγινώσκω τὴν περικοπὴν οὕτω φάσκοντος· τὸ γὰρ οὐ φονεύσεις, οὐ μοιχεύσεις, φησίν, οὐ κλέψεις 15 καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται. πλήρωμα οὖν νόμου ἡ ἀγάπη.

ΜΚ. Τὸ ἀνακεφαλαιωθῆναι λύσιν δηλοῖ τοῦ προτέρου.

832 *ΕΥΤΡ.* Ἤκουσα τοῦ ἀποστόλου, | πλήρωμα τοῦ νόμου φάσκοντος, εἰ γὰρ τὸ ἐλλεῖπον πληροῦται, οὐκ ἤδη τὸ προὸν ξένον ἐστὶ τοῦ ἐπιπληρουμένου, ἀλλὰ συγκιρνώμενον, καὶ τὸ ἀνακεφαλαιούμενον οὐ ξένον ἔσται τοῦ προτέρου.

ΑΔ. Σαφέστερόν σε πείσει ὁ σωτὴρ ἐν τῷ εὐαγγελίῳ, προσελ-25 θόντος αὐτῷ τινός· Διδάσκαλε ἀγαθέ, τί ποιήσας, φησί, ζωὴν αἰώνιον κληρονομήσω; εἶπε δὲ Ἰησοῦς· τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεός· ὁ δὲ ἔφη· τὰς ἐντολὰς οἶδα· μὴ φονεύσῃς, μὴ μοιχεύσῃς, μὴ κλέψῃς, μηδὲ ψευδομαρτυρήσῃς, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. καί, φησίν, 30b ταῦτα πάντα ἐφύλαξα ἐκ νεότητος. ἀκούσας ταῦτα ὁ Ἰησοῦς εἶπεν αὐτῷ· ἕν σοι λείπει· πάντα ὅσα ἔχεις πώλησον καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ.

ΕΥΤΡ. Ὁρᾷς, Μᾶρκε, πάντας τοὺς ἀκροατὰς τεθηπότας ἐπὶ ταῖς

14—18] Rom. 13: 9, 10. — **25—32**] Lc. 18: 18—22, Mt. 19: 16—21, Mc. 10: 17—21.

7 *ἀνασκευάσας καινουργήσας* B[1], *ἀνασκευάσας καὶ καινουργῆσαι* A. Vielleicht: *ἀνασκευάσας καινουργῆσαι* | **17** *συνεργάζεται* E | **21** *προὸν* ACDFH Pic. Humfr., *πραὸν* E, *παρὸν* d. Ausgg. | **22** *ἐπιπληρωμένου* B[1] | **26** *ὁ Ἰησοῦς* F | **27** *οἶδας* d. HSS. *οἶδα* richtig Zahn, Gesch. d. N.T. Kanons II S. 484 Anm. Vgl. Epiph. *κατὰ Μαρκ.* Schol. 50: *καὶ ἀντὶ τοῦ· »τὰς ἐντολὰς οἶδας« λέγει· »τὰς ἐντολὰς οἶδα«* | **28** *μ. φονεύσεις, μ. μοιχεύσεις, μ. κλέψεις, μ. ψευδομαρτυρήσεις* B[1].

Ad. d.: Ostende quam creaturam nouam creauerit, aut quod coelum nouum uel quam terram nouam produxerit, uel quem hominem nouum fecerit. Aut non intellegis quia eadem permanente substantia, cum innouantur, ea quae uetera sunt noua appellantur?

5 *Eutr. d.*: Noua ueteribus secundum materiam nihil differunt sed secundum opus uel tempus, ut si quis uelit uasa uetera confringens rursum refundere et in noua ea specie reparare, sine dubio, uerbi causa si argentum sit, nouum se habere dicit argentum, cum utique ipsum sit argentum secundum materiam quod ante fuerat uetus. Ut uideo ergo, etiam hoc 10 quod bonum te protulisse credebas scriptum inuenitur in lege, et ideo superfluum est etiam dicere alium esse deum qui illa mandauerit, et alia esse dogmata, cum ubique eadem conscripta relegantur.

c. **XVII.** *Ad. d.*: Et adhuc manifestius Paulus edocuit quod plenitudo legis sit dilectio. Et, si placet, lego locum in quo scriptum est. 15 Ita namque dicit apostolus: *Quod enim dixit*: *Non occides, non adulterabis, non furaberis, et si quid aliud est mandatum, in hoc verbo restauratur*: *Diliges proximum tuum sicut te ipsum. Caritas proximo malum non operatur*; *plenitudo ergo legis est caritas.*

Marc. d.: Restauratio hoc indicat quod priora soluta sunt.

20 *Eutr. d.*: Audiui recitatum esse de apostolo quod plenitudo legis sit caritas. Si ergo, cui deest aliquid, adimpleatur, non utique alienum erit illud ⟨ab⟩ eo, quod adimpleri dicitur, sed ualde proprium, et quod restauratur non utique alienum ex alieno reparatur.

Ad. d.: Euidentius adhuc saluator ipse declarauit in euangelio, cum 25 accessisset ad eum quidam, dicens ei: *Magister bone, quid faciens uitam aeternam consequar? Ait ei Iesus*: *Quid me dicis bonum? Nemo bonus, nisi unus deus.* Et adiecit dicens: *Mandata nosti*: *Non occides, non adulterabis, non furaberis, non falsum testimonium dices, honora patrem tuum et matrem tuam. At ille ait*: *Haec omnia seruaui a iuuentute mea. Re-* 30 *spondens uero Iesus dicit ei*: *Unum tibi restat. Uade, omnia quae habes uende et da pauperibus, et habebis thesaurum in coelo.*

Eutr. d.: Intueris, Marce, admirari nimio stupore omnes auditores,

2 Cod. prodixerit, mit »u« über dem ersten »i« | **20/21** quod plenitudo — caritas] »Caritas« kommt im gr. Original nicht vor, und Ruf. hätte das nicht ergänzen sollen. Der Verf. spricht hier nicht von der Liebe, sondern nur von der Bedeutung des Wortes *πλήρωμα*. — B | **22** eo] Caspari »ei«. Ich habe »ab« hinzugefügt. — B | **27** et adiecit — nosti] Ruf. fand die fehlerhafte LA. *οἶδας* schon in seiner Vorlage und versuchte, wie gewöhnlich, dem Übel abzuhelfen. „Rufin vertauschte daher die Einführungsformeln, indem er vs. 20 durch »*et adiecit dicens*« einleitet, also wieder zur Fortsetzung der Rede Jesu in vs. 19 machte, und dagegen vs. 21 »*at ille ait*«, sodass dies erst die Antwort des Jünglings ist." Zahn, s. Anm. z. d. gr. T. — B.

παραδόξοις ἀποδείξεσιν. ὁ ἐλθών, ὡς ἔφης, λῦσαι τὸν νόμον καὶ ξένα δογματίζων, ἔφασκεν· ἓν ἔτι σοι λείπει ἵνα κομίσῃ θησαυρὸν ἐν οὐρανῷ; οὐκοῦν τηλαυγῶς τὸ ἓν τῶν λοιπῶν πλήρωμα ἀπεφήνατο, πάνυ γὰρ καὶ ὁ ἀπόστολος συνᾴδει τῷ λόγῳ τούτῳ τὸ
5 ἓν τῶν πολλῶν πλήρωμα ἐκθέμενος, τὴν ἀγάπην.

c *ΑΔ.* Πρωτότυπον ὁμολογεῖ ὁ ἀπόστολος τὸν νόμον τοῦ εὐαγγελίου, λέγων· ταῦτα μὲν τύπος συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν.

ΜΚ. Οὐχ οὕτως γέγραπται, [οὐ] λέγει γάρ· ταῦτ' ἀτύπως συνέ-
10 βαινεν ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν.

7/8] 1 Cor. 10: 11.

1 *ἀποδείξεσιν* Conj. Wettst.'s, *ἀποτάξεσιν* d. HSS. | **2** *ἔφασκεν ἄν· ἔτι σοι λείπει* ACDEFGH, *ἔφ. ἔτι σ. ἓν λ.* B, *»adhuc unum«* Ruf. Pic. | *κομίσῃ* ACDFH, *κομίσῃς* d. übr. | **9 ff.** In unseren HSS. lautet der Text: *Μᾶρκος. Οὐχ οὕτως γέγραπται· οὐ λέγει γὰρ ταῦτα τύπος συνέβαινεν ἐκείνοις ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν λέγει δὲ περὶ ἐκείνων ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα κτέ.* Wie sich aus Ruf.'s Übers. ergiebt, gehört 866e *ποία* — 871b *νοήματα τῶν ἀπίστων* zwischen *πρὸς νουθεσίαν ἡμῶν* u. *λέγει δὲ περὶ ἐκ.* Vgl. Einl. § 9. Es genügt aber nicht, diesen Blättern ihre ursprüngliche Stelle wiederzugeben, wir müssen auch einige Fehler verbessern, die in den Text gerieten, weil Abschreiber die entstandene Lücke zu verdecken sich bestrebten. Wenn wir die disjecta membra wieder vereinigen, ergiebt sich folgender Text: *ΜΚ. Οὐχ οὕτως γέγραπται· οὐ λέγει γάρ· ταῦτα τύπος συνέβαινεν ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν. ποία γὰρ ἀκολουθία ἐν τούτῳ τῷ λόγῳ σώζεσθαι δύναται* (*Εὐτρ. Ποία ἀκολ. κτέ.* AB[1], *Εὐτρ. ποία γὰρ ἀκολ. κτέ.* C[1].) So kann aber der Verf. nicht geschrieben haben. Warum *οὐ λέγει γὰρ* statt *οὐ γὰρ λέγει*? Was soll das *γὰρ* nach *ποία*? Mit *ποία* muss eine neue Rede anfangen, eine Erwiderung auf die Behauptung des Marcus. Von der richtigen Lesart haben ABC noch Spuren bewahrt, vollends belehrt uns über den wahren Sachverhalt die Übersetzung des Rufinus. Auf dessen Autorität fussend hat Zahn versucht, den überlieferten Text zu verbessern. »Darnach«, so schreibt er Gesch. des N.T. Kan. II p. 508 Anm., »wäre der durch Blätterversetzung entstellte gr. Text so wieder herzustellen: *οὐχ οὕτως γέγραπται ἐν τῷ ἡμετέρῳ ἀποστολικῷ* (von Rufin stets durch »Codex« übersetzt) *ἀλλ' οὕτως λέγει· ταῦτα χωρὶς* (oder *ἄνευ*) *τύπου συνέβαινεν ἐκείνοις κτέ.*« Einleuchtend jedoch ist diese Conjectur keineswegs. Die Einschaltung *ἐν τῷ ἡμ. ἀπ.* ist unnötig, da Rufinus sich auf jeder Seite erlaubt, den gr. T. zu erweitern oder zu kürzen, und *»sine typo«* kann viel einfacher auf *ἀτύπως* zurückgeführt werden; *ταῦτα τύπος* und *ταῦτ' ἀτύπως* sind einander fast gleich, und dass *ἀτύπως* das richtige Wort ist, ergiebt sich aus dem folgenden *ἄτυπος δὲ νουθεσία*.

Dass *οὐ* vor *λέγει γὰρ* getilgt werden muss, ist selbstverständlich. Als die corrupte LA. *ταῦτα τύπος* entstanden war, versuchte ein Abschreiber, den Unsinn zu verbessern, ohne die fehlerhafte Wortfolge zu beachten. Denselben Ursprung hat *γὰρ* in *ποία γὰρ ἀκ.*, das nicht nur bei Ruf., sondern auch in AB[1] fehlt. Ich habe es eingeklammert, sowie auch *καὶ* vor *νουθετεῖσθαι*. Es fehlt B[1]C, statt *καὶ* haben AFH: *ἐστι*.

quod mirabiliter prolatis testimoniis ueritas comprobatur. Ille, quem dicebas uenisse ut solueret legem contrariisque nouis decretis, dixit ei qui se dixerat mandata legis implesse: *Adhuc unum tibi restat, ut thesaurum integrum adipiscaris in coelo.* In quo manifestissime decla-
5 rauit unum istud, quod adiecit, esse plenitudinem caeterorum. Et consonanter his apostolus pronuntiauit reliquorum esse mandatorum plenitudinem caritatem.

c. **XVIII.** *Ad. d.*: Sed et typum dicit apostolus esse, id est figuram uel formam, legem eorum quae in euangeliis habentur, dicens: *Haec*
10 *autem omnia in typo contingebant illis, scripta autem sunt propter nos.*

Marc. d.: Non est sic scriptum in codice nostro, sed ita dicit: *Haec sine typo contingebant illis, scripta sunt autem ad commonitionem nostram.*

2 decretis] Hier scheint ein Verbum ausgefallen zu sein. Restauraret? S. ob. S. 93 Z. 19. (Man könnte auch vermuten, dass der Verf.: »*ut solueret legem nouis contrariisque decretis*« schrieb. — B) | 6 Cod. apostolus his, mit »a« über »his« u. »b« über »apostolus«.

866e *ΕΥΤΡ.* Ποία [γὰρ] ἀκολουθία ἐν τούτῳ τῷ λόγῳ σώζεσθαι
δύναται; τύπου γὰρ προάγοντος ἐξ ἀνάγκης [καὶ] νουθετεῖσθαι τοὺς
867 ὁρῶντας, ἄτυπος δὲ νουθεσία | οὐκ ἄν ποτε δειχθείη.

ΑΔ. Εἰ οὖν παρίσταται τῇ ἀγχινοίᾳ τῇ σῇ, βραχύ τι προσκαρτε-
5 ρήσας ἄκουε τοῦ ἀποστόλου τοῦ ὑπ' αὐτῶν προκομισθέντος, ὅπως
μάθῃς τὴν τούτων ἀνοησίαν· ὁ γὰρ σχέτλιος Μαρκίων, ῥαδιουργήσας
τὰ κατὰ τὸν ἀπόστολον, οὐ παντάπασιν ἀπήλειψε, καὶ οὗτοι μέχρι
τοῦ δεῦρο περιαιροῦσιν ὅσα ἂν μὴ συντρέχῃ τῇ αὐτῶν γνώμῃ. ὅσα
οὖν μὴ νοήσαντες κατέλειψαν ἑαυτοῖς ἐναντιούμενα, ταῦτα ὥσπερ
10 ἐπιφυλλίδας ἀναλεξάμενος ἐκ τῶν ἀποστολικῶν καὶ προφητικῶν
φωνῶν, προφανῶς τῇ σῇ συνέσει ἐπιδείξομαι. λέγει δὲ οὕτως ὁ ἀπό-
στολος· αἱ γυναῖκες ἐν ἐκκλησίᾳ σιγάτωσαν, οὐ γὰρ ἐπιτέ-
b τραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, καθὼς καὶ ὁ
νόμος λέγει. καὶ πάλιν λέγει· τρίτον τοῦτο ἔρχομαι πρὸς
15 ὑμᾶς. ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν
ῥῆμα. ὁμοίως δὲ καὶ ἐνταῦθα ἀναμφιλέκτως ἀκολουθεῖν φαίνεται
τῷ νόμῳ ὁ ἀπόστολος, ὅταν λέγῃ· τότε γενήσεται ὁ λόγος ὁ
γεγραμμένος· κατεπόθη ὁ θάνατος εἰς νῖκος· (ποῦ σου, θά-
νατε, τὸ νῖκος*;) λεγέτωσαν ποῦ γέγραπται αὐτοῖς οὗτος ὁ λόγος,
20 εἰ μὴ ἐν νόμῳ καὶ προφήταις· ὡς οὖν καταλελυμένου τοῦ νόμου φησὶ
γενήσεσθαι τὸν ἐκεῖ γεγραμμένον λόγον, ἢ πληρωθησομένου; τῶν γὰρ
μὴ ἐνδεχομένων ἐστὶ καὶ καταλύειν τὸν νόμον καὶ φάσκειν [τὸν νόμον
c καὶ] τὰ ἐν αὐτῷ γεγραμμένα ἔσεσθαι [λέγειν]. Ἐφεσίοις δὲ ἐπιστέλλων
φησί· μνημονεύοντες ὅτι ποτὲ ὑμεῖς, τὰ ἔθνη, οἱ λεγόμενοι
25 ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειρο-
ποιήτου, ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλ-
λοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ καὶ ξένοι τῶν δια-
θηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ
κόσμῳ· νυνὶ δὲ ὑμεῖς, οἵ ποτε ὄντες μακράν, ἐγενήθητε
30 ἐγγὺς ἐν τῷ αἵματι τοῦ Χριστοῦ. ποίας οὖν ἐπαγγελίας ἐνταῦθα

12—14] 1 Cor. 14: 34. — **14—16**] 2 Cor. 13: 1. — **17—19**] 1 Cor. 15: 54, 55, Jes. 25: 8. — **24—30**] Eph. 2: 11—13.

1/2 γὰρ u. καὶ s. d. vorang. Anm. | **3** δειχθείη] δεχθείη d. HSS. | **6** σχεταῖος d. HSS. Picus: »*miser*« | **8** τῆς δεῦρο AB | συντρέχοι d. HSS. | **12** ἐπιτέτρεπται CDE | **17** ὅταν δὲ A (mit Punkten unter δὲ) B[1] | λέγῃ BCDFH, λέγει d. übr. | **18/19** ποῦ — νῖκος < Ruf., vielleicht wegen des Homoiotel. | **21** ἐκεῖ] ἐκεῖσε d. HSS. | **22** καταλύειν τὸν νόμον] καταλέγειν τοῦ νόμου d. HSS. Das folgende φάσκειν τὸν νόμον verstehe ich nicht; bei Ruf. fehlt es. Ich vermute, dass irrigerweise τὸν νόμον καὶ nach φάσκειν wiederholt ist; dieser Fehler kann den folgend. veranlasst haben | **23** ἔσεσθαι] Man erwartet γενήσεσθαι oder πληρωθήσεσθαι | **25** ὑπὸ τῆς] ὑποστήσας A[1]B[1], ὑποστήσας τῆς FH (στήσας ausradiert) | **26/27** ἀπηλλοτριωμένοι BCH, ἀπηλλωτρ. d. übr. | **29** νυνὶ δὲ] ABCDE, »*nunc autem*« Ruf. Pic. Humfr., νυνὶ καὶ d. übr.

Eutr. d.: Et quae consequentia poterit esse in hoc uerbo? Typum necesse est utique commonitionem praebere et formam uidentibus. Si uero sine typo uel sine forma sit quod praecedit, quomodo formam uidentibus dabit?

5 *Ad. d.*: Si uidetur prudentiae tuae paululum patienter audire, lego apostolum, quem ipsi proferunt, ut intellegant omnes quanta sit eorum peruersitas. Infelix enim Marcion, cum adulterasset scripturas, apostoli codicem non est ausus in omnibus uel falsare uel etiam delere; sed isti etiam nunc quae eis uisa fuerint auferunt, id est ea quae assertionibus 10 suis uidentur esse contraria, et ea sola derelinquunt quae aduersa sibi non intellexerunt. Haec ergo ego uelut racemos quosdam ab istis pessimis uindemiatoribus derelictos de apostolicis et euangelicis uocibus colligens, etiam ex ipsis ut se habeat ueritas approbabo. Itaque dicit apostolus: *Mulieres in ecclesia taceant. Non enim permittitur eis loqui sed* 15 *subditas esse, sicut et lex dicit.* Et iterum dicit: *Ecce hoc tertio uenio ad uos. In ore enim duorum et trium testium stabit omne uerbum.* In quo absque ulla ambiguitate sermonibus utitur legis. Sed et in alio loco dicit: *Tunc fiet sermo qui scriptus est: Absorpta est mors in uictoria.* Dicant, ubi scriptus est iste sermo, nisi in lege et prophetis. Quid ergo? 20 Destructam dicit esse legem is qui adseuerat esse futurum sermonem qui ibi scriptus est, an potius adimplendam? Absurdum etenim uidetur legem destruere et implenda esse dicere quae in eo scripta haberentur. Ad Ephesios autem scribens, ita dicit: *Quia uos aliquando gentes, qui dicebamini praeputium ab ea quae dicitur circumcisio in carne* 25 *manufacta, qui eratis illo tempore sine Christo, alienati a conuersatione Israel et peregrini testamentorum et promissionis spem non habentes et sine deo in mundo. Nunc autem uos, qui aliquando eratis longe, facti estis prope in sanguine Christi.* Hoc in loco quas promissiones commemorat,

1 uerbo] Cod. uero | 18 Cod. absorta | 20 adseuerat] Cod. ad se uenerat | 22 Cod. implendā.

μέμνηται, ἧς οἱ ξένοι χωρὶς Χριστοῦ ὑπάρχουσιν; ἢ ἃς ὁ κατ' αὐτοὺς
d ξένος καὶ ἄγνωστος ἐπηγγείλατο θεός; καὶ πότε ἐπηγγείλατο ὁ μηδέ-
ποτε φανεὶς πρὸ τῶν Τιβερίου Καίσαρος χρόνων; ἢ πῶς ἄγνωστος
αὐτοῖς ἦν ὁ πρότερον λαλῶν καὶ ἐπαγγελλόμενος; σαφῶς διδάσκει,
5 τοὺς ξένους τῆς διαθήκης τοῦ Ἰσραὴλ ἀθέους φάσκων εἶναι. καὶ
πάλιν λέγει· ὅσαι γὰρ ἐπαγγελίαι θεοῦ, ἐν αὐτῷ τὸ ναί. εἰ γὰρ
ὁ ξένος καὶ πρῶτον νῦν φανεὶς οὔτε ἐγνώσθη τινὶ πρότερον, οὔτε
ἐπηγγείλατο, δῆλον ὅτι ὁ ἐπαγγειλάμενος οὐδεὶς ἕτερός ἐστιν ἢ ὁ
δημιουργός. ἐνδηλότερον δὲ ἐπιστῆσαι βούλομαι ὅτι Χριστὸς ἐκ
10 νόμου καὶ προφητῶν κατήγγελται, ὡς αὐτὸς ὁ σωτὴρ περὶ Ἰωάννου
e λαλῶν φησιν· οὗτός ἐστι περὶ οὗ γέγραπται· ἰδού, ἀποστέλλω
τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν
ὁδόν σου ἔμπροσθέν σου. ταύτης οὖν διὰ τῶν προφητῶν γενο-
μένης τῆς ὑποσχέσεως ὥστε πρόδρομον κυρίου ἀποσταλῆναι πρὸ
15 προσώπου αὐτοῦ, τὸν ἑτοιμάσοντα τὴν ὁδὸν τοῦ θεοῦ Ἰωάννην,
ἔχουσι δεῖξαι ἕτερόν τινα οὗ πρὸ προσώπου ἐκεῖνος ἀπεστάλη; εἰ
γὰρ ἐλήλυθεν ἕτερός τις πρὸ Χριστοῦ ὑπὸ τοῦ δημιουργοῦ πεμφθείς,
δεικνύτωσαν, εἰ δὲ οὐδεὶς ἕτερος πέφηνεν εἰ μὴ μόνος ὁ κύριος ἡμῶν
Ἰησοῦς Χριστὸς καὶ πρὸ προσώπου τούτου πάρεστιν Ἰωάννης, φανε-
20 f ρὸν ὅτι τότε ἦν πεπληρωμένη ἥ ποτε ἐπηγγελμένη ὑπόσχεσις, καὶ
οὐδενὸς ἄλλου θεοῦ ἐστιν ὁ Χριστὸς ἢ τοῦ δημιουργοῦ [θεοῦ] οὗ καὶ
οἱ προφῆται ὑπῆρχον καὶ ὁ νόμος. ὁ δὲ ἀπόστολος οὐχὶ τηλαυγῶς
ἐκ νόμου κηρύσσει τὸν Χριστόν, λέγων Κορινθίοις ὅτι οἱ πατέρες
ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς
25 θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωσῆν ἐβαπτίσθησαν
868 ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ | θαλάσσῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα
πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν
ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ
δὲ πέτρα ἦν ὁ Χριστός; τίς οὐκ ἂν θαυμάσειε τὴν ἄνοιαν τούτων,
30 ἀναγινωσκόντων μὲν ταῦτα καὶ μὴ συνιέντων; ἐὰν δέ τις παραθῇ

6] 2 Cor. 1: 20. — **11—13**] Mt. 11: 10, Mal. 3: 1. — **23—29**] 1 Cor. 10: 1—4.

1 Ruf. hat unrichtig übersetzt: »*a quibus peregrini essent qui*« | ἃς d. HSS., nur E hat ἃ | **2** *πότε*] *τότε* CDE | **4** *σαφῶς διδάσκει κτἑ.*] In den Ausgg. steht das Komma nicht nach *διδ.*, sondern nach *Ἰσραήλ* | **15** *ἑτοιμάσοντα* ABCDFH Pic. Humfr., *ἑτοιμάσαντα* d. übr. | **20** *τότε*] *τοῦτο* A[1]B[1]C | *ἐπηγγελμένη ἥ ποτε πεπληρωμένη* d. HSS., *ἐπηγγειλαμένη* E | **21** *δημιουργοῦ θεοῦ*] »*creatoris*« Ruf. Vielleicht ist *θεοῦ* nur eine fehlerhafte Wiederholung der zwei letzten Buchst. *ου* | **28** *ἔπιον*] *ἔπινον* B[1] w. e. sch. Zwischen *ι* u. *ν* ist ein Buchst. radiert | *ἔπινον γὰρ*] *ἔπιον γ.* D | **29** *θαυμάσειε* CDEFH, »*admiretur*« Pic., *θαυμάσει* d. übr. | **30** *ἐὰν δέ τις*] »*Quid uero si*« Ruf., »*Quid si quis*« Pic. Muss man lesen: *Τί δὲ ἐάν τις*?

a quibus peregrini essent hi qui sine Christo fuerunt? Numquid illum nescio quem, ⟨quem⟩ dicunt ipsi ignotum et peregrinum deum, dicent aliquid promisisse? Et quando promisit, qui nunquam apparuit ante tempora Tiberii Caesaris? Aut si ipse est qui promisit, iam non erit
5 peregrinus et ignotus, qui et locutus est hominibus aliquid et promisit. Manifestissime igitur docet apostolus quia hi, qui peregrini erant a testamento Israel, sine deo essent. Et iterum dicit: *Quaecunque autem promissiones dei, in ipso sunt.* Quod si peregrinus et ignotus et modo primum apparuit nec cuiquam prius innotuit, neque repromisit aliquid deus iste
10 quem praedicas, dubium non est quin is qui promisit creator sit deus. Sed adhuc apertius ostendere cupio quia Christus a lege et prophetis praenuntiatus sit, sicut ipse saluator de Iohanne loquens dicit: *Hic,* inquit, *de quo scriptum est: Ecce mitto angelum meum ante faciem tuam qui praeparabit uiam tuam ante te.* Cum ergo per prophetas data sit
15 illa promissio ut praecursor Iohannes Christi praeueniret aduentum et praepararet uiam dei, numquid possunt ostendere aliquem alium uenisse cuius aduentum Iohannes praecesserit, ut alium dicant Christum a creatore missum, cuius fuerit ille praecursor? Si uero nullus alius uenit nisi solus dominus noster Iesus Christus, et ipsum praecessit Iohannes,
20 certum est quia tunc completa est illa promissio quae per legem et prophetas dicitur repromissa, et nullius alterius dei est Christus, nisi creatoris cuius et prophetae erant et lex, per quos eius mundo promittebatur aduentus. Sed apostolus numquid ⟨non⟩ euidenter ex lege et prophetis praedicat Christum, dicens Corinthiis quia *Patres nostri omnes*
25 *sub nube fuerunt, et omnes mare transierunt, et omnes in Moysi baptizati sunt in nube et in mari, et omnes eandem escam spiritalem manducauerunt, et omnes eundem potum spiritalem biberunt, bibebant enim de spiritali sequenti petra, petra autem erat Christus?* Quis non obstupescat eorum insipientiam, qui haec quidem legunt, his uero contraria astruunt et
30 diuersa? Quid uero, si quis hic adiciat etiam illud, quod dicit apostolus: *Etenim pascha nostrum immolatus est, Christus?* quod pascha sine dubio a creatore deo in lege designatum est.

1 fuerunt] Cod. ft | 2 Im Cod. fehlt das zweite »quem« | 13 Cod. tuuam | 14 Cod. praeparauit | 20 quia] Cod. qui | tunc] Cod. huic | 23 numquid non] Cod. bloss: numquid | ex] Cod. et | 30 quis] Cod. qui. — B.

τούτῳ τῷ ῥητῷ τό· ⟨τὸ⟩ πάσχα ἡμῶν ἐτύθη Χριστός; ὅπερ πάσχα ὑπὸ τοῦ δημιουργοῦ θεοῦ νενομοθέτηται.

ΜΚ. Ταῦτα μὲν ἤκουσας τοῦ ἀποστόλου, ἐκεῖνα δὲ οὐκ ἤκουσας λέγοντος· ἐγένετο ὁ πρῶτος ἄνθρωπος, Ἀδάμ, εἰς ψυχὴν
5 b ζῶσαν, ὁ ἔσχατος, κύριος, εἰς πνεῦμα ζωοποιοῦν· ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος, κύριος, ἐξ οὐρανοῦ;

ΑΔ. Σαφῶς ὁ ἀπόστολος ἔδειξε καὶ τὸν πρῶτον, Ἀδάμ, καὶ τὸν δεύτερον, κύριον, τοῦ αὐτοῦ θεοῦ καὶ οὐχ ἑτέρου τινός· εἰ γὰρ οὕτως γέγραπται· πρῶτος ἐκ γῆς χοϊκὸς ἄνθρωπος, Ἀδάμ, καὶ
10 ὁ δεύτερος ἐξ οὐρανοῦ, κύριος, περισσή ἐστιν ἡ μυθοποιΐα. καὶ γὰρ τὸ γεγραμμένον οὐκ ἀλλαχῇ ἢ ἐν τῷ νόμῳ εὑρεθήσεται γεγραμμένον· καὶ ὁ οὐρανὸς δέ, ὅθεν ὁ κύριος ἦλθεν, οὐχ ἑτέρου δείκνυται ὢν θεοῦ ἀλλ' ἢ τοῦ δημιουργοῦ.

ΕΥΤΡ. Οὐρανοὺς κέκτηται ὁ ἀγαθός;
15 ΜΚ. Οὐ τοὺς τοῦ δημιουργοῦ.

ΕΥΤΡ. Παροικεῖ οὖν τῷ δημιουργῷ;
c ΜΚ. Ἰδίους ἔχει οὐρανοὺς ὁ ἀγαθός.

ΕΥΤΡ. Δέδεικται οὖν καὶ ὁ ἀγαθὸς δημιουργὸς ὢν οὐρανῶν.

ΜΚ. Ἐκεῖνοι οἱ τοῦ ἀγαθοῦ οὐρανοὶ ἀχειροποίητοι καὶ ἀγένητοι.
20 ΑΔ. Οὐκοῦν, εἰ ἀγένητοι, καὶ ἀνονόμαστοι· τὸ γὰρ ἀγένητον καὶ ἀνονόμαστον. ἄλλως δὲ καὶ αὐτοματισμὸν δογματίζουσι κατὰ τὸν Ἐπίκουρον.

ΜΚ. Πῶς;

ΕΥΤΡ. Ὁ ἀπόστολος ἔφη· ὁ δεύτερος, ἐξ οὐρανοῦ, (καθ' ὑμᾶς*)
25 κύριος· ποίου οὖν οὐρανοῦ, ἀναγκαῖόν ἐστι ζητῆσαι. εἰ μὲν τοῦ δημιουργοῦ, φαίνεται καὶ ὁ Χριστὸς τοῦ δημιουργοῦ ὤν· εἰ δὲ ἐξ ἄλλου οὐρανοῦ, ὡς φής, ζητεῖν χρὴ εἰ ἀγένητον ἀγενήτου διαφέρειν δύναται.
d ΑΔ. Ἴσως κατ' αὐτούς, (ὅπερ ἀδύνατον*). εἰ δὲ καὶ τοῖς οὐρανοῖς τοῦ δημιουργοῦ οὐκ ἀποκέχρηται, ἀλλ' οὖν γε τοῖς ὀνόμασι.

1] 1 Cor. 5: 7. — **4—6**] 1 Cor. 15: 45, 47.

1 τὸ < d. HSS. | **2** θεοῦ] τούτου d. Ausgg., τοῦτο AEFH, τοῦτο od. τοῦτον B. Keine dieser LA. kann die ursprüngliche sein. Ruf.: *a creatore deo.* Ich vermute, dass »δημιουργοῦ θεοῦ« geschrieben war, und τούτου aus γοῦ θεοῦ stammt; ἐπὶ τοῦ δημ. H Pic. | **3** Von hier an bis zum Ende der versetzten Blätter ist in vielen HSS. der Name Marcus in den des Marinus verändert. EFGH (Z. 23 C i. mg.) Pic. Per. haben Μᾶρκος, Humfr. hat zweimal: »Marinus«, aber 868c vor ἰδίους: Marcus | **13** ὢν] ὄντος d. HSS. | **15** τοὺς τ. δ. ABCDFGH, < E u. d. Ausgg. | **20** οἱ ἀγενητ. C | **24** Nach Ad. u. Eutr. schrieb der Apostel nicht κύριος, sondern ἄνθρωπος. Daher ist das καθ' ὑμᾶς, das in der Übers. des Ruf. fehlt, richtig | **27** ζητεῖν χρὴ κτἑ.] Diese Beweisführung ist nicht klar. Die Vergleichung mit der Übers. des Ruf. führt zu der Vermutung, dass wir lesen müssen ζητεῖν χρὴ εἰ ἐξ ἀγενήτου, καὶ εἰ ἀγένητον κτἑ. | **28** ὅπερ ἀδύνατον. Vgl. 839b δύο ἀγένητα εἶναι ἀδύνατον.

c. **XIX.** *Marc. d.*: Haec audisti apostolum dicentem. Illa alia, quae dicit, non audisti: *Factus est primus homo, Adam, in animam uiuentem, nouissimus autem, dominus, in spiritum uiuificantem; primus homo de terra terrenus, secundus, dominus, de coelo?*

5 *Ad. d.*: Manifestissime apostolus ostendit et primum, Adam, et secundum, dominum, eiusdem dei et non alterius. Si enim scriptum est, ut dicis: *Primus homo de terra, Adam, secundus de coelo, dominus*, superfluae iam erunt uestrae fabulae. Hoc enim, quod dicis, non alibi, sed in lege scriptum esse reperietur, et coelum ipsum, unde dicis esse 10 dominum, non alterius dei, quam creatoris esse docebitur.

Eutr. d.: Coelos possidet bonus deus?

Marc. d.: Non istos qui creatoris sunt.

Eutr. d.: Incola ergo est creatoris.

Marc. d.: Non.

15 *Eutr. d.*: Ostenditur ergo etiam bonus creator esse coelorum.

Marc. d.: Illi coeli, qui sunt boni dei, non sunt manufacti.

Ad. d.: Ergo nec facti sunt. Et quod factum non est, nec nomen habere potest. Ut uideo, iam Epicuri nobis dogma introducitis et automatismon praedicatis, id est sponte sua esse quae sunt, ex nullo auctore 20 condita uel creata.

Marc. d.: Quomodo?

Eutr. d.: Apostolus dixit: *Secundus de coelo, dominus.* De quo coelo, necessarium uidetur edicere. Si quidem de isto creatoris, uidetur et Christus esse creatoris; si autem alterius coeli, ut dicis, requirendum 25 est (si infecti, id est non ab aliquo creati.) Quod si ita est, plura introduc ingenita et increata.

Ad. d.: Aut fortassis secundum istos. Etiam si coelis non utitur creatoris deus bonus ille, at certe nominibus utitur. Unde nomen coeli

6 Si] Cod. Sic | 9 scriptum esse reperietur et] Cod. scriptum est reperi ēt in. Ich habe »est« nach dem »esse docebitur« in dem nachfolgenden parallelen Satze in »esse« emendiert und statt des sinnlosen »in«, nach dem *καὶ ὁ οὐρανὸς δὲ*, »et« gesetzt. »Reperietur« wird sowohl durch »docebitur« als durch das *εὑρεθήσεται* des gr. T. geschützt | 17 Cod. eergo, mit einem Punkte über und unter dem zweiten »e« | 24 alterius coeli] Man erwartet »de alterius ⟨dei⟩ coelo«. Doch kann »si — coeli« sein: Wenn er eines anderen Himmels ist | 25 introduc] Introducis? Doch geht der Imperativ an: So führe du mehrere Nichtgewordene und Ungeschaffene ein, lehre du u. s. w., nicht wie du jetzt thust, nur zwei. (Es kann wohl sein, dass Ruf. an die *ἀρχαὶ* des Marcus gedacht hat; der gr. Verf. dachte an sie m. E. nicht. — B) | 27 Aut fortassis cet.] Es ist möglich, dass Ruf.'s Vorlage verstümmelt war, oder dass er nicht gut übersetzt hat; am wahrscheinlichsten ist, dass nach »istos« etwas ausgefallen ist, gr. *ὅπερ ἀδύνατον*. — B | 28 at] Cod. aut.

. πόθεν γὰρ ἔσχον τὸ ὄνομα τοῦ οὐρανοῦ; ἢ δῆλον ἀπὸ τοῦ νόμου; οὕτω γὰρ λέγει· ἐκάλεσεν ὁ θεὸς τὸ στερέωμα οὐρανόν. σκόπει δὲ καὶ τοῦτο τὸ ἀσεβὲς τόλμημα, πῶς παρεχάραξαν τὴν γραφήν. τὴν γὰρ κατὰ σάρκα γέννησιν τοῦ Χριστοῦ ἀνελεῖν βουλόμενοι, ἐνήλλαξαν
5 τό· ὁ δεύτερος ἄνθρωπος καὶ ἐποίησαν· ὁ δεύτερος, κύριος, οὐκ ἰδόντες ὅτι ἢ ἐξ ἀνάγκης ὁμολογήσειν αὐτοὺς καὶ τὴν κατὰ σάρκα τοῦ πνευματικοῦ Χριστοῦ γένεσιν, ἢ μεταγενέστερον αὐτὸν τοῦ Ἀδὰμ
e ὁμολογῆσαι. τὸ γάρ ἐγένετο ὁ πρῶτος καὶ ὁ δεύτερος ἀκούοντες, τί ἕτερον ἢ τοῦτο νοοῦμεν· εἰ ἐκεῖνος μὲν πρῶτος ἐγένετο, ὁ δὲ
10 κύριος δεύτερος, ἀκόλουθόν ἐστι νοεῖν μεταγενέστερον τὸν κύριον τοῦ Ἀδάμ; πάλιν γὰρ Κορινθίοις ὁ ἀπόστολος γράφων φησὶν ὅτι ὁ θεός, ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ὑμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης αὐτοῦ ἐν προσώπῳ Χριστοῦ. τίς οὖν ὁ εἰπὼν θεὸς ἐκ σκότους φῶς
15 λάμψαι, καὶ τίνι εἰπών, καὶ πότε, ἀκριβῶς ζητήσαντες, εὑρήσομεν καὶ τίνα κηρύσσει ὁ ἀπόστολος θεὸν καὶ πόθεν ἐστὶ τὸ δοθὲν ἡμῖν ἐκ προσώπου τοῦ Χριστοῦ φῶς. εἰ μὲν γὰρ ὁ κατ' αὐτοὺς ἀναπλασά-
f μενος ἀγαθὸς θεός ἐστιν ὁ τοῦτό τινι ἢ τισιν εἰπὼν (εὑρίσκεται ἄγνω-
ιστος ὢν καὶ) δειχθῆναι δεῖ πότε ἢ τί ἢ τίσιν εἶπε. καὶ εἰ εἶπε,
20 ψευδὲς τὸ λέγειν ἄγνωστον καὶ μηδέποτε πεφανερωμένον, μηδὲ εἰς ἔννοιάν τινος ἀφικόμενον αὐτὸν ὑπάρχειν. εἰ γὰρ καὶ πρότερον ἐλάλει τε καὶ ἐπηγγέλλετο, οὔτε ἄγνωστος ἦν, οὔτε τότε πρῶτον,
869 ὥς | φασιν, ἐπὶ Τιβερίου κατελθὼν ἐφάνη ἐν Καφαρναούμ. εἰ δὲ οὐκ ἦν οὗτος ὁ ὑποσχόμενος τὸ φῶς, ἀλλ' ὁ δημιουργός, ἐκείνου δηλονότι
25 ἐσμὲν καὶ ἡμεῖς οἱ φωτιζόμενοι, καὶ ὁ Χριστὸς οὗ ἐν προσώπῳ λάμπει τὸ παρὰ τοῦ δημιουργοῦ φῶς. (ὁ γὰρ ἀγαθός, φησίν, ἄγνωστος ἦν.)

2] Gen. 1: 8. — 5] 1 Cor. 15: 47. — 8] 1 Cor. 15: 45, 47. — 11—14] 2 Cor. 4: 6.

4 γὰρ < B | γέννησιν BDEFH, γένησιν d. übr. | 6 ἢ < C | καὶ τὴν κατὰ σάρκα FH, καὶ τὴν σ. CE, κατὰ τὴν σ. d. übr. | 7 γέννησιν FH | 16/17] ἐκ προσώπου] »*in persona*« Ruf., ἐν προσώπῳ? | 17—19 εἰ μὲν γὰρ — τίσιν εἶπε ist zweifelsohne verdorben, 19 δειχθῆναι δὴ B[1]E, δειχθῆναι δέοι εἴποτε H, 17 ἀναπλασόμενος H[2]. Pic. übers.: *Nam si est bonus Deus, quem ipsi fingunt opificem*, Humfr.: *Si enim is qui refinxerat et bonus Deus, quomodo isti jactitant, hoc alicui aut aliquibus dixit, invenitur videlicet ignotus ille etiam docuisse aliquando et alicui dixisse et aliquid.* Ruf. entfernt sich vom überlieferten Texte »*Si enim secundum fabulas istorum — quando dixit*«. Ich vermute, dass Humfr.'s Übers. auf Conjectur beruht, da keine unserer HSS. — und die seine war den unseren ähnlich — eine Spur von »*docuisse*« zeigt. Hat Ruf. einen anderen gr. T. gekannt, oder ist er, wie an anderen Stellen, den Schwierigkeiten aus dem Wege gegangen? Man kann mehrere Conjecturen machen, ἀναπλασαμένους lesen u. ὅς τοῦτό τινι ἢ τισιν εἰπὼν εὑρίσκεται, ἄγν. ὤν, [καὶ] δειχθ., aber, solange nicht bessere HSS. zu Hilfe kommen, bleibt alles ungewiss | **19** καὶ εἰ εἶπε ABCFH Pic., Humfr., εἰ < d. übr. HSS. | **25** οὗ] »*cuius*« Ruf., οὖν ACDFH, < d. übr. | **26** ὁ γὰρ — ἦν, das bei Ruf. fehlt, passt hier gar nicht und

habetur? Sine dubio ex eo quod in lege scriptum est. Sic enim dicit: *Et uocauit deus firmamentum coelum.* Sed et illud non est omittendum quod uolentes isti excludere dominum secundum carnem esse natum, immutarunt hoc quod de apostolo protulerunt. Ubi dicit: *secundus homo,*
5 isti fecerunt: *secundus, dominus*, non aduertentes imminere sibi hoc ut aut confiteantur necessario etiam secundum carnem natum spiritalem Christum, aut posteriorem eum esse dicendum ab Adam. Quod enim dicitur quia *factus est primus et secundus*, quid aliud intellegi necesse est nisi hoc quod ille prior sit, et hic posterior? (Et secundum hoc
10 quod falsa sunt et quod secundum carnem natiuitatem eius abstulerunt, inuenies in spiritu posteriore homine, qui prius creatus est, confiteri.) Sed et rursum, Corinthiis scribens, apostolus dicit quia *Deus, qui dixit de tenebris lucem fulgere, illuminauit in cordibus uestris lucem scientiae gloriae eius in persona Christi.* Quis ergo est deus qui dixit de tenebris
15 lucem fulgere, uel cui dixit, uel quando, diligentius requiramus, aut quem deum praedicat apostolus, et unde est lux, quae datur nobis in persona Christi. Si enim secundum fabulas istorum bonus deus hoc dixit, ostendi oportet quibus uel quando dixit, et erit iam falsum, quod dicunt, ignotum esse deum et numquam ulli cognitum neque mentem
20 alicuius intrasse. Si enim iam prius loquebatur et repromittebat, neque ignotus est, neque, ut dicunt, temporibus Tiberii primo manifestatus est in Cafarnaiim. Quodsi non est ipse qui dixit lucem fulgere, sed creator est, certum est quia et nos ipsius sumus qui ex eius luce illuminamur, et Christus ipsius est in cuius persona uel facie lux creatoris dicitur
25 resplendere. Ephesiis quoque scribens apostolus ait: *Et ueniens euan-*

2 »non est« steht über der Zeile, wohl als vom Schreiber ausgelassen | 8 Nach »quid« steht im Cod. ein durch Auswischen und Ausradieren halbgetilgtes »em«, wohl »enim«, dadurch entstanden, dass das Auge des Schr. von »quid cet.« auf das vorangehende »quod enim« abirrte | 9 Et secundum hoc cet.] Dieser Satz ist in unserem Cod. sehr verdorben. Caspari vermutet, dass nach »falsa sunt« Worte wie »quae dixerunt, dubitari non potest« ausgefallen seien. Diese Conjectur ist aber nicht einleuchtend. Die Beweisführung des Adamantius ist m. E. folgende: Indem die Marcioniten das Wort Pauli fälschen, bemerken sie nicht dass sie entweder die leibliche Geburt Christi anerkennen, oder lehren müssen dass er später als Adam geschaffen sei. Da sie nun die leibliche Geburt leugnen, so bleibt nur der zweite Teil des Dilemmas übrig. Wie hat Ruf. das ausgedrückt? Ich teile folgende Vermutung mit, die vielleicht Anderen den Weg zur Besserung ebnet: *Et secundum hoc quod falsauerunt, et quod secundum carnem natiuitatem eius abstulerunt, inuenies ⟨eos⟩ spiritu⟨m⟩ posteriore⟨m⟩ homine, qui prius creatus est, confiteri.* Caspari bemerkt, dass Ruf. »confiteri in spiritu« st. »in spiritum«, ὁμολογεῖν εἴς τινα schreiben konnte. Der ganze Satz fehlt im gr. T. — B | 15 cui] Sieht im Cod. aus wie »eui« | dixit] Cod. dic̄ (dicit), was zur Not angeht | 16 quae] Cod. uel que | 18 Cod. falsum iam, mit »b« über falsum und »a« über »iam«.

Ἐφεσίοις δὲ ἐπιστέλλων ὁ ἀπόστολός φησι· καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν καὶ τοῖς ἐγγύς, ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα. τίνος ἡμεῖς μὲν μακρὰν ὑπήρχομεν, Ἰουδαῖοι δὲ ἐγγύς;
5 ἆρά γε ⟨τοῦ⟩ κατ' αὐτοὺς ξένου καὶ ἀγνώστου θεοῦ; καὶ πῶς ἐκείνου ἐγγὺς Ἰουδαῖοι ὑπῆρχον ὃν ἐπίσης ἡμῖν ἠγνόουν, ᾧ μήτε ὑπήκουσάν
b ποτε ἢ προσέσχον, ἑτέρῳ λατρεύοντες θεῷ, ὡς οὗτοι φάσκουσιν, ἀντικειμένῳ τῇ τοῦ ἀγαθοῦ θεοῦ προαιρέσει; φησὶ γοῦν· δι' αὐτοῦ ἔχομεν προσαγωγὴν οἱ ἀμφότεροι πρὸς τὸν πατέρα. πρὸς
10 ποῖον πατέρα, ἢ δηλονότι τὸν κτίσαντα ἡμᾶς; ἔτι τε ἀναντίρρητον ῥητὸν ἐκ τοῦ αὐτοῦ ἀποστόλου παραστήσομεν ἕνα εἶναι τὸν τῶν ὅλων θεόν τε καὶ κτίστην ἡμῶν τε καὶ πάσης τῆς κτίσεως, τὸν μόνον ἀγαθὸν θεόν, οὗ καὶ ὁ κόσμος ἐστὶ καὶ τὰ πάντα. φησὶ γὰρ Παῦλος· εἷς θεὸς πατὴρ πάντων καὶ ἐν πᾶσιν ἡμῖν· πατὴρ οὖν πάντων
15c θεός. τίς οὖν κατ' αὐτοὺς νομισθείη; πότερον ὁ κατ' αὐτοὺς ἀγαθός, ὁ μήτε κτίσας τινὰ ἡμῶν, μήτε τινὸς ὅλως ποιητὴς ἢ δημιουργὸς ὑπάρχων; ἢ τίνων ἔσται πατήρ; οὐκ ἐνδέχεται γὰρ ἐκεῖνον ἡμᾶς τέκνα εἶναι, ὑφ' οὗ μὴ γεγενήμεθα. λέγει δὲ καὶ ὁ προφήτης· οὐχὶ θεὸς ἔκτισεν ἡμᾶς καὶ πατὴρ πάντων ἡμῶν ἐστιν;

20 ΜΚ. Τῶν πιστευόντων πατήρ ἐστιν ὁ ἀγαθός, λέγει γὰρ Παῦλος ὅτι εἰς υἱοθεσίαν ἐλήφθημεν.

ΕΥΤΡ. Ὁρᾷς, Μᾶρκε, μειδιῶντας τοὺς ἀκροατὰς ἐπὶ τῇ ἀπαιδεύτῳ σου φιλονεικίᾳ. οὐ γὰρ εἶπεν ὁ ἀπόστολος ὅτι εἷς πατὴρ πιστῶν, ἀλλὰ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν ἡμῖν.

25d ΜΚ. Ἀλλ' εἶπεν· εἰς υἱοθεσίαν ἐλήφθημεν. τίς ποτε τὰ ἴδια υἱοποιεῖται;

ΑΔ. Ἔσται οὖν πονηρὸς ὁ παρ' ἀκόντος τὰ ἀλλότρια εἰληφώς, ἀγαθὸς δὲ ὁ συγχωρήσας. ὅτι δὲ Παῦλος τὸν δημιουργὸν κηρύσσει θεὸν ἀναντιρρήτως ἐστὶ μαθεῖν αὐτοῦ λέγοντος· ὁ θεός, φησί,
30 συνεκέρασε τὸ σῶμα τῷ ὑστεροῦντι περισσοτέραν δοὺς

1—4] Eph. 2: 17, 18. — **14**] Eph. 4: 6. — **18/19**] Mal. 2: 10. — **21**] Gal. 4: 5, Eph. 1: 5. — **29/30**] 1 Cor. 12: 24.

ist gewiss eine Anmerkung in mg., die anderswohin gehört und sich hierher verirrt hat. So lässt sich der Sing. φησὶ erklären, da Ad. in dieser Rede von den Marcioniten im Plural spricht: ὑμᾶς, ὡς οὗτοι φάσκουσι, κατ' αὐτούς.

2 εἰρήνην τοῖς ἐγγὺς AB[1], vgl. 871 e | **8** πνεύματι] »*spiritu*« Ruf. σώματι d. HSS. Tischend. kennt keine varia lectio σώματι | **5** τοῦ < d. HSS. | **9** τὴν προσαγωγὴν AG | **14** πατὴρ οὖν π. θ.] DEB[2] u. d. Ausgg.: πατὴρ ἐπὶ πάντων θεός, πατ. ὁ ἐπὶ π. θ. A[2]CFH, als Worte des Apostels; πατὴρ οὗ π. θ. A[1] (ου) B[1]. Dieses οὗ weist auf οὖν, Ruf.: *ergo*. In dieser Form sind die Worte kein Citat mehr | **23** φιλονεικεία C.

gelizauit pacem his qui longe et his qui prope, quia per ipsum habemus accessum utrique in uno spiritu ad patrem. A quo ergo nos longe sumus, Iudaei autem prope? Numquid non ab isto ignoto deo? Et quomodo Iudaei prope ipsum esse dicuntur quem utique, similiter ut nos, et ipsi
5 ignorabant et quem ne audierunt quidem unquam, quippe cum alium colerent, ut isti dicunt, illum qui esset contrarius bono deo? Dicit ergo quia *Per ipsum habemus accessum*, utique *ad patrem.* Ad quem patrem? Numquid non manifestum est quia ad eum qui creauit nos? Sed et aliud, cui contradici non potest, ex ipso apostolo proferam quod unus
10 sit omnium deus, qui et creator est uniuersorum, qui et solus bonus et iustus est, cuius et mundus est et omnia quae in eo sunt. Ait namque Paulus: *Unus deus et pater omnium, (qui super omnes, et per omnes) et in omnibus nobis.* Pater ergo omnium deus est. Quis iste deus? Secundum uos putabitur iste quem dicis ignotum, qui neque
15 creauit aliquem nostrum, neque aliquid facturae suae habet in hoc mundo. Et cuius erit pater? Non enim potest fieri ut filii simus eius qui nos non genuit, quia et propheta sic dicit: *Nonne deus unus creauit nos et pater omnium unus?*

Marc. d.: Credentium pater est bonus deus, dicit enim Paulus quia
20 *in adoptione uocati sumus.*

Eutr. d.: Uides, Marce, ridere omnes auditores de [imperitia tua et] contentiosa imperitia tua. Non enim dixit apostolus quia unus pater fidelium, sed *unus deus, pater omnium, qui est super omnes et per omnes et in omnibus nobis.*

25 *Marc. d.*: Sed dixit quia in adoptione nos susciperet. Aliquando uidisti quia aliquis proprios filios adoptat?

Ad. d.: Erit ergo malus qui alienos filios aufert ab inuito, bonus uero ille qui indulget et cedit. Tamen quia Paulus creatorem deum praedicat absque ulla contradictione monstratur, cum dicit: *Deus autem*
30 *temperauit corpus, cui deerat, ampliorem tribuendo honorem.* Et iterum:

8 non] Cod. nam. Im Stile Ruf.'s passt »non« besser. Vgl. Z. 8. — B | **12/13** »qui — per omnes« fehlt in den gr. HSS. — B | **14** Cod. ignotus | **15** »habet« steht am Rande mit dem Zeichen der Auslassung, das auch im T. nach suae (sue) steht | **21** Uides] Cod. uideris, gr. *ὁρᾷς*. — B | **22** »imperitia tua et« ist wohl sicher zu tilgen. — B | **25** Susceperit? suscepit? gr. *ἐλήφθημεν*.

τιμήν. λαβὲ δὴ τηλαυγέστερον ῥητόν· ὥστε, φησί, μηδεὶς καυχάσθω ἐν ἀνθρώποις· πάντα γὰρ ὑμῶν ἐστιν, εἴτε Παῦλος, εἴτε Κηφᾶς, εἴτε κόσμος, εἴτε ζωή, εἴτε θάνατος, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα· πάντα ὑμῶν· ὑμεῖς δὲ Χριστοῦ, Χρι-
5 στὸς δὲ θεοῦ. αὕτη γὰρ ἡ διάνοια τοῦ ῥητοῦ τοῦ ἀποστολικοῦ
e πρὸς βίαν αὐτοὺς ἀναγκάσει τὴν ἀλήθειαν εἰπεῖν καὶ ἄκοντας. τίνος γὰρ βούλονται εἶναι τὸν Χριστὸν θεοῦ; ἀποκρινάσθωσαν.

ΜΚ. Τοῦ ἀγαθοῦ.

ΑΔ. Ἀγαθοῦ ἄρα καὶ ἡμεῖς, οἱ τοῦ Χριστοῦ, καὶ τὰ ἡμέτερα,
10 τουτέστιν ὁ κόσμος καὶ ἡ ζωὴ καὶ ὁ θάνατος καὶ τὰ ἐνεστῶτα καὶ τὰ μέλλοντα.

ΜΚ. Ὁ κόσμος τοῦ πονηροῦ ἐστιν.

ΕΥΤΡ. Καὶ ὁ Χριστὸς καὶ Παῦλος καὶ Κηφᾶς καὶ ἡ ζωὴ κατὰ σὲ τοῦ πονηροῦ ἔσονται· φανερῶς γὰρ εἰς δυσσέβειαν ἡ φιλονεικία ἄγει.

15 *ΑΔ.* Οὐκ ὀκνήσω καὶ ἕτερον ῥητὸν τοῦ ἀποστόλου προσενεγκεῖν, οὕτω λέγοντος· τῷ δὲ θεῷ, φησί, χάρις, τῷ πάντοτε
f θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ, ὅτι Χριστοῦ εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυ-
20 μένοις, τοῖς μὲν ὀσμὴ ἐκ θανάτου εἰς θάνατον, τοῖς δὲ ὀσμὴ ἐκ ζωῆς εἰς ζωήν. ἐξ οὗ τοίνυν τὰ πάντα ἡμῖν ἐστι, δῆλον ὅτι ἐκ τούτου καὶ ἡ τοῦ Χριστοῦ εὐωδία εἰς ζωὴν ὑπάρχουσα τοῖς σωζομένοις, ὀσμὴ δὲ θανατοῦσα εἰς θάνατον τοῖς ἀπολλυμένοις. ταῦτα
870 οὖν ἀναγινώσκον|τες οἱ τῆς τοσαύτης ἀπονοίας κάπηλοι, πῶς εἰσι
25 πονηροὶ ἕτερον ἐπιχειροῦντες λέγειν ἀγαθόν τε καὶ πατέρα τοῦ Χριστοῦ σώζοντα, καὶ ἕτερον κρίνοντα, ὄντα τοῦ κόσμου κτίστην τε καὶ δεσπότην; εἰ γὰρ ἐξ ἑνὸς τὰ πάντα καὶ ἡμεῖς τέ ἐσμεν καὶ ὁ κόσμος καὶ ὁ θάνατος καὶ ἡ ζωὴ καὶ τὰ ἄλλα πάντα, ὅ τε Χριστὸς ὀσμή ἐστί τισι μὲν ζωῆς, τισὶ δὲ θανάτου, περισσὴ ἡ τοῦ ἑτέρου
30 θεοῦ ἔσται παρεύρεσις. πῶς δὲ οὐκ αἰδοῦνται, λέγοντος Παύλου ὅτι ἐμοί, φησί, τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων, ἐδόθη ἡ χάρις αὕτη ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον
b πλοῦτον τοῦ Χριστοῦ καὶ φωτίσαι πάντας τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν
35 τῷ θεῷ τῷ τὰ πάντα κτίσαντι. ⟨εἴγε⟩ αὕτη ἦν ἡ ἀπὸ τῶν

1—5] 1 Cor. 3: 21—23. — **16—21**] 2 Cor. 2: 14, 15. — **31—35**] Eph. 3: 8, 9.

16 φησὶ < C, in A φησὶ mit Punkten unter den Buchst. | **29** ἑτέρου DFGH Pic., < d. übr. | **34/35** ἐν τῷ θεῷ] ἐν < d. Ausgg. Aus dem Nachfolgenden geht aber klar hervor dass der Verf. »ἐν τῷ θεῷ« schrieb. ἐν steht in allen HSS. | **35** In d. HSS. u. d. Ausgg.: Αὕτη ἦν — τοῖς ἔθνεσι Παῦλος. Φανερὸν κτέ. So aber hängen die Sätze nicht zusammen. Ich folgte Ruf.: »*Si utique haec est dispensatio*«. Schon im Cod. C schrieb ein Unbekannter in mg.: ἴσως λείπει εἰ.

Itaque nemo glorietur in hominibus. Omnia uestra sunt, siue Paulus, siue Cephas, siue hic mundus, siue uita, siue mors, siue praesentia, siue futura; omnia uestra sunt, uos autem Christi, Christus autem dei. Hic sensus apostoli etiam inuitis extorquet fateri quod uerum est. Cuius enim
5 uolunt esse dei Christum? Respondeant.

Marc. d.: Boni dei.

Ad. d.: Boni ergo dei sumus et nos qui sumus Christi et nostra omnia, id est mundus et uita et mors et praesentia et futura.

Marc. d.: Mundus maligni est.

10 *Eutr. d.*: Ergo Christus et Paulus et Cephas et uita secundum te maligni erunt. Uides manifeste quia contentio te ad blasphemiam trahit.

c. **XX.** *Ad. d.*: Et mihi quidem non est pigrum adhuc et alia proferre apostoli testimonia, sicut dicit: *Deo autem gratias qui semper triumphat nos in Christo, et odorem scientiae suae manifestat per nos in*
15 *omni loco, quia Christi bonus odor sumus in his qui salui fiunt et in his qui pereunt, aliis quidem odor de morte in mortem, aliis autem odor uitae ad uitam.* Ex eo igitur ex quo nobis omnia sunt, ex ipso, ait, et Christi bonus odor sumus de uita in uitam his qui salui fiunt, et de morte in mortem his qui pereunt. Quod cum ita legatis et uideatis
20 quod ex uno eodemque habere se dicit apostolus odorem uitae et mortis, unde haec tanta caecitas mentibus uestris obripit ut alium bonum et patrem Christi qui salutem tribuit, alium uero dicatis conditorem esse et iudicem mundi? Si enim ex uno omnia et ex uno odor uitae et odor mortis, nonne superflua est geminae diuinitatis adinuentio? Quo-
25 modo autem non erubescunt Paulum dicentem quia: *Mihi*, inquit, *minimo omnium sanctorum data est gratia haec, in gentibus euangelizare inuestigabiles diuitias Christi, illuminare omnes quae sit dispensatio mysterii huius absconditi in saeculis in deo qui omnia creauit.* (Si*) utique haec est dispensatio a saeculis abscondita in deo creatore, et hoc est mysterium

13 Cod. sicut. Casp. »Sic« | **17** et] Cod. hat vor »et« noch »autem«, was keinen rechten Sinn giebt und wohl aus dem vorangehenden »aliis autem« durch Versehen in den Text gekommen ist | **18** uitam] Cod. uita | **25** Cod. minimo inquid, mit »b« über dem ersten und »a« über dem zweiten Wort | **29** Cod. absondita, mit einem kleinen fast wie »i« aussehenden »c« über »o«.

αἰώνων οἰκονομία τοῦ ἀνεξιχνιάστου πλούτου τοῦ Χριστοῦ ἀποκεκρυμμένη, καὶ τοῦτό ἐστι τὸ μυστήριον ὃ εὐαγγελίζεται καὶ φωτίζει τοῖς ἔθνεσι Παῦλος, φανερὸν ὅτι τοῦ κτίσαντός ἐστιν ἀπόστολος, ὁ τὴν ἐν αὐτῷ ἀποκεκρυμμένην φωτίζων οἰκονομίαν, τόν τε ἀνεξιχνίαστον
5 πλοῦτον τοῦ Χριστοῦ οὐχ ἑτέρου, ἀλλὰ τοῦ πάντα κτίσαντος λέγων. τί μήν; σαφῶς καὶ ἀναντιρρήτως ἐπέγνω τὸν νόμον καὶ τὰ κατ' αὐτὸν προστάγματα, φησὶ ⟨γάρ⟩· ὥστε ὁ μὲν νόμος ἅγιος καὶ ἡ
c ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή· καὶ πάλιν· ἡ ἁμαρτία, ἵνα φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον.
10 ἀγαθῆς τοίνυν τῆς κατὰ τὸν νόμον οὔσης ἐντολῆς, ὡς γέγραπται, δῆλον ὅτι ἀγαθὸς ἐξ ἀνάγκης ὁμολογηθήσεται καὶ ὁ δοὺς αὐτήν, εἴγε ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται· καὶ πάλιν· περιτομὴ μὲν γὰρ ὠφελεῖ ἐὰν νόμον πράσσῃς. εἰ γὰρ ὠφελεῖ ἡ περιτομὴ τοὺς πράσσοντας τὸν νόμον, φανερὸν ὅτι ἀγαθὴ αὐτοῖς εὑρίσκεται. τίς
15 γὰρ οὕτως μέμηνεν ὡς τὰ ὠφελοῦντα μὴ ὁμολογεῖν ἀγαθά; καὶ ἡ
d διὰ Μωσέως δοθεῖσα πέτρα ὁ Χριστὸς ἦν, ὡς δέδειχε Παῦλος. ἢ οὖν ἀποφανοῦνται οὐκ ἀγαθὸν τὸν Χριστόν, ἢ τὸν δόντα τὴν πέτραν ἀγαθὸν ὁμολογήσουσι. τὸ δὲ ποτήριον τῆς εὐλογίας, τόν τε ἄρτον ὃν κλῶμεν ἥνικα ἂν λέγῃ τοῦ αἵματος καὶ τοῦ σώματος
20 τοῦ κυρίου εἶναι κοινωνίαν, οὐχὶ πάντως καὶ ἀγαθὰ συνυπακούεσθαι βούλεται; εἰ δὲ μή, πρὸς τὰ πονηρὰ ἔσται ἡ τοῦ αἵματος καὶ τοῦ σώματος τοῦ Χριστοῦ Ἰησοῦ κοινωνία, καὶ μάτην λεχθήσεται· τίς κοινωνία φωτὶ πρὸς σκότος; ἐὰν δὲ καὶ τὸ ἐν τῷ εὐαγγελίῳ γεγραμμένον ἀναγνῶσιν ὅτι· ὁ κύριος ἀναβλέψας εἰς
25 τὸν οὐρανὸν εὐχαριστεῖ, οὐχὶ πρὸς τὸν κτίστην εὐχαριστεῖ; λαβὼν
e δὲ ἄρτον καὶ ποτήριον καὶ εὐλογήσας, ἕτερον οὖν εὐλογεῖ ὑπὲρ τῶν τοῦ δημιουργοῦ κτισμάτων, ἢ τὸν αὐτὰ ποιήσαντα καὶ παρέχοντα;

ΜΚ. Ἡμεῖς ἀπὸ τοῦ ἀποστόλου καὶ τοῦ εὐαγγελίου ἐμάθομεν καὶ τὸν δημιουργὸν καὶ τὰ κτίσματα αὐτοῦ πονηρά.

30 *ΑΔ.* Ἃ ὁ Χριστὸς ἀγαθὰ ὁμολογεῖ σὺ λέγεις πονηρά.

ΜΚ. Οὐ λέγει ἀγαθὸν τὸν κόσμον οὐδὲ τὰ κτίσματα αὐτοῦ· λέγει γάρ· εἰ ἦτε ἐκ τούτου τοῦ κόσμου, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει.

7/8] Rom. 7: 12. — **8/9**] Rom. 7: 13. — **12/13**] Rom. 2: 25. — **15**] 1 Cor. 10: 4. — **18—20**] 1 Cor. 10: 16. — **23**] 2 Cor. 6: 14. — **24/25**] Mt. 14: 19, Mc. 6: 41, Lc. 9: 16. — **32**] Joh. 15: 19.

7 γὰρ < d. HSS. | **11** δηλονότι d. HSS. | **16** ἢ οὖν] εἰ οὖν FH, οὖν < B¹C. Vielleicht war der ursprüngl. Text: καὶ ⟨εἰ⟩ ἡ διὰ Μωσέως ...., ὡς δέδειχε Παῦλος, ἢ ἀποφανοῦνται κτέ. | **22/23** καὶ μάτην λεχθήσεται· τίς κοινωνία habe ich hinzugefügt mit ABCFH | **30** ἃ haben CDEFH Ruf., Pic., < d. übr., vgl. Einl. § 4 a. E.

quod euangelizatur gentibus per Paulum, quomodo non Paulus creatoris dei minister est, qui abscondita mysteria gentibus mittitur nuntiare? Sed et adhuc amplius legem collaudans et praecepta eius, ait: *Itaque lex quidem sancta, et mandatum sanctum et iustum et bonum.* Et iterum: 5 *Ut peccatum appareat peccatum, per bonum mihi operatum est mortem.* Cum igitur bonum esse dicat legis mandatum, nonne necessario bonus iudicabitur etiam legis lator? Siquidem, ut etiam uos dicitis, de fructu arbor cognoscitur. Et iterum dicit: *Circumcisio quidem prodest, si legem custodias.* Quodsi circumcisio prodest legem custodienti, sine dubio bona ei 10 esse et utilis inuenitur, quia quod utile est etiam bonum simul intellegitur. Sed et per Moysen data est populo Israel *petra, qui erat Christus*, ut Paulus interpretatus est. Quid eis uidetur? Nonne, si bonus est Christus et Christus erat petra, necessario etiam ille qui dedit petram bonus intellegitur. Tunc deinde [de] ipsa substantia creaturae, in qua 15 sacramenta confecit Christus et signacula corporis sui sanguinisque designat, nonne materiam corporis spiritus sancti largitione sanctificat? Et quae esset societas lucis ad tenebras, si alterius esset ipsa quae sanctificatur substantia creatoris? Sed et quod dixit: *Dominus respiciens in coelum gratias egit*, — cui gratias agit? Nonne creatori, cuius respicit 20 coelum?

Marc. d.: Nos de apostolo et euangelio didicimus et creatorem et creaturas eius malas.

Ad. d.: Quae Christus dicit bona tu dicis mala.

Marc. d.: Non dicit bonum esse mundum neque creaturas quae 25 in eo sunt. Ait enim: *Si essetis de hoc mundo, mundus utique quod suum esset amaret.*

6/7 Cod. iudicatur. gr. *δμολογηθήσεται* | **7** Cod. etiam ut. Vgl. die Worte: »*cum et secundum uos arbor ex fructibus agnoscatur*« weit. unt. cap. 21. Der Schreiber hat wohl vergessen, sein »b« und »a« über »etiam« und »ut« zu setzen | **10** Caspari will »et utilis« ohne zureichenden Grund streichen. — B | **12** si] Cod. sibi. Caspari meint, unter Berufung auf »uoluntatem suam« I c. 4, dass »sibi« hier statt »eis« gebraucht sei; er liest: *Nonne sibi bonus est Christus? et Christus erat petra. Necessario etiam* cet., und bemerkt: Vor »Necessario« scheinen Worte wie: »Si uero bona erat petra« ausgefallen zu sein. Durch die Änderung von »sibi« in »si« wird dies unnötig. — B | **14** deinde ipsa substantia] Cod. »de ipsa substantia deīde« mit »b« über »ipsa« und »a« über deīde, d. h. w. e. sch. deinde de ipsa substantia. Caspari: Tunc deinde de ipsa — designat. Nonne materiam u. s. w.; er hält die Stelle für verdorben. Ich habe »de« eingeklammert. »Signacula« ist wohl richtige Conjectur Casparis statt »singule ac«, was der Cod. bietet. Die Beweisführung ist jedoch m. E. nicht klar. — B | **17** Cod. lucis societas, mit »b« über »lucis« und »a« über »societas« ‖ **21** Cod. euangeliis. Vgl. II c. 10 | **25** sunt] Cod. est. Man könnte auch »creaturam .... est« lesen, was von Caspari bezweifelt wird. — B.

ΑΔ. Αὐτοῦ τοῦ σωτῆρος δίδωμί σοι φωνάς, λέγοντος ἐν τῷ εὐαγγελίῳ· ἐάν τινα, φησίν, ἐξ ὑμῶν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ f *ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; (ἢ ἐὰν αἰτήσῃ ἰχθύν, μὴ ὄφιν ἐπιδώσει αὐτῷ*;) ἢ καὶ αἰτήσει ᾠόν, μὴ ἐπιδώσει αὐτῷ* 5 *σκορπίον; εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν* [καὶ τὰ ἑξῆς]. *ἀγαθὰ οὖν ὁμολογήσας δόματα ἄρτον τε καὶ ᾠὸν καὶ ἰχθύν, ἃ ἐστι κτίσματα τοῦ δημιουργοῦ, πῶς οὐ δι' αὐτῶν καὶ τὸν τούτων ποιητὴν ἀγαθὸν* 871 *νοεῖσθαι βούλεται; εἴγε τὸ δένδρον ἐκ | τῶν ἰδίων καρπῶν γινώσκεται.* 10 *ὅταν δὲ λέγῃ ὁ σωτὴρ ὅτι ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ἢ ζύμῃ, ἢ σαγήνῃ, ἤ τινι τοιούτῳ, τὰ κτίσματα τοῦ δημιουργοῦ θεοῦ, οἷς ὁμοίαν εἶναι λέγει ὁ κύριος τοῦ θεοῦ τὴν βασιλείαν, πονηρὰ ἀποκαλοῦντες, τίνα γνώμην ἔχουσι περὶ τῆς τοῦ θεοῦ βασιλείας ἐννοείτωσαν. εἰ γὰρ ὁ κόκκος τοῦ σινάπεως* 15 *πονηρός ἐστιν, ὡς πονηροῦ κατ' αὐτοὺς θεοῦ κτίσμα ὑπάρχον, ἢ καὶ τὰ λοιπά, δῆλον ὅτι καὶ ἣν ὅμοιοι αὐτοῖς βασιλείαν τῶν οὐρανῶν. καὶ τί χρήζομεν αὐτῆς, οὔσης πονηρᾶς; εἰ δὲ ἀγαθή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, ἐξ ἀνάγκης ἀγαθός ἐστι καὶ ὁ κόκκος τοῦ σινάπεως* b *καὶ τὰ λοιπὰ πάντα ὧν ὁμοία ἐστὶν ἡ ἀγαθὴ τοῦ θεοῦ βασιλεία.*

20 *ΜΚ. Φανερὰν φωνὴν τοῦ ἀποστόλου παρέχομαι, τὴν δεικνύουσαν ὅτι τοῦ κόσμου ἄλλος ἐστὶ θεός· οὕτω γὰρ λέγει· ἐν οἷς, φησίν, ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπί-* 832c *στων* [λέγει δὲ περὶ ἐκείνων· ἐν οἷς ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων] *πρὸς τὸ μὴ διαυγάσαι αὐτῶν* 25 *τὸν φωτισμόν. ἴδε ὅτι πονηρὸν λέγει τὸν θεὸν τούτου τοῦ αἰῶνος, τὸν μὴ ποιοῦντα καταυγάσαι τὸν φωτισμόν.*

2—6] Mt. 7: 9—11, Lc. 11: 12, 13. — **10/11**] Mt. 13: 31, 33, 47. — **21—25**] 2 Cor. 4: 4.

25 *Ad. d.*: Pater uerbi, aut Christus?

Mar. d.: Pater cum uerbo.

Ad. d.: Quomodo creauit?

Mar. d.: Sicut scriptura dicit: *Faciamus*, inquit, *hominem ad imaginem et similitudinem nostram. Et accepit deus limum de terra et plasmauit* 30 *hominem.*

2/3 Cod. contentione | **17** Im gr. T. wird das Folgende bis passionis fälschlich dem Eutr. in den Mund gelegt | **18** Der Satz »In diuinitate cet.« giebt keinen Sinn. Caspari: »In diuinitate nihil ⟨pudoris⟩ est, gr. *οὐκ αἰδεῖται*, und »Quin e contrario = ja, im Gegenteil«. Aber auch so wird kein guter Sinn gewonnen. Schrieb R. vielleicht: Quin e contrario in diuinitate nihil ⟨pudoris⟩, est, [quia]? Oft sind im Cod. Worte umgesetzt. — B | quin] Cod. »q«, mit »i« über d. Zeile | **19** Cod. laude | **21** ad fehlt im Cod.

ΑΔ. Λαβὼν ὁ θεὸς χοῦν εἰς τὸ κρεῖττον ἔτρεψεν ἢ εἰς τὸ χεῖρον;
ΜΑΡ. Δηλαδὴ εἰς τὸ κρεῖττον.
ΑΔ. Εἰ χοῦν λαβὼν ὁ θεὸς καὶ πλάσσων ἐκ χείρονος τὸν ἄνθρωπον οὐκ ᾐσχύνετο, ἀναλαβεῖν ὃν ἔπλασεν ᾐδεῖτο;
5 *ΜΑΡ.* Πῶς τοῦτο λέγεις;
b *ΕΥΤΡ.* Ἔφης ἐκ χοὸς τὸν ἄνθρωπον δεδημιουργῆσθαι ἢ οὐχ οὕτως;
ΜΑΡ. Ναί.
ΕΥΤΡ. Τί οὖν ἐστι τιμιώτερον καὶ ἐνδοξότερον, χοῦς ἢ ἄνθρωπος;
ΜΑΡ. Ἄνθρωπος.
10 *ΕΥΤΡ.* Ἀνόητον οὖν τὸ λέγειν ἐπὶ χείρονι μὴ αἰσχύνεσθαι, ἐπὶ δὲ τῷ κρείττονι αἰδεῖσθαι. εἰ γὰρ χοῦν λαβεῖν ὁ θεὸς οὐκ ᾐδέσθη, πῶς ἄνθρωπον, γενόμενον ὁμοίωσιν αὐτοῦ, λαβεῖν ᾐσχύνετο;

ΑΔ. Αὐτὴ γὰρ ἡ φύσις οὐκ ἐλέγχει ὅτι μέχρι τῆς σήμερον ὁ λόγος τοῦ θεοῦ πλάσσει τοὺς ἀνθρώπους; ἢ χωρὶς τοῦ θεοῦ φὴς
15 ζωοπλαστεῖσθαι ἐν τῇ μήτρᾳ ἄνθρωπον;
ΜΑΡ. Ἐγὼ δύναμιν θεοῦ λέγω ζωογονεῖν τὸν ἄνθρωπον.
ΑΔ. Ἄκουε τοῦ ἀποστόλου λέγοντος· Χριστὸς θεοῦ δύναμις
c καὶ θεοῦ σοφία· ἄκουε Ἰωάννου τοῦ εὐαγγελιστοῦ λέγοντος· πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν.
20 ἀλλὰ μὴν καὶ Ἱερεμίας ὁ προφήτης δείκνυσι τὸν θεὸν πλάστην τοῦ ἀνθρώπου, φάσκοντα· πρὸ τοῦ με πλάσαι σε, ἐκ κοιλίας ἐπίσταμαί σε. ἀλλὰ καὶ Δαυίδ· αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με. ἀλλ' οὖν γε καὶ ἐν τῇ Γενέσει· ἔλαβε, φησίν, ὁ θεὸς χοῦν καὶ ἔπλασε τὸν ἄνθρωπον. (ἔτι μὴν καὶ ὁ ἀπόστολος·
25 ὅτε δέ, φησίν, εὐδόκησεν ὁ θεός, ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου.) εἰ τοίνυν δείκνυται ἀπὸ τῶν γραφῶν ὁ λόγος τοῦ
d θεοῦ ζωοπλαστῶν τὸν ἄνθρωπον, πῶς οἷόν τέ ἐστι τὰ μὲν αἰσχύνης ἄξια, εἴγε αἰσχύνεσθαί φατε τὸ θεῖον, ἀποδέχεσθαι, τὰ δὲ ἀμείνονα καὶ ἐνδοξότερα ταῦτα ἐκφαυλίζετε;

30 *ΜΑΡ.* Τί πρὸς τὸ τηλαυγὲς τῶν γραφῶν ὅτι οὐράνιον σῶμα φάσκουσιν ἀνειληφέναι; καθὼς ὁ εὐαγγελιστὴς Ἰωάννης· καὶ ὁ λόγος σάρξ, φησίν, ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν.

17/18] 1 Cor. 1: 24. — **18/19**] Joh. 1: 3. — **21/22**] Jerem. 1: 5. — **22/23**] Ps. 118: 73. — **23/24**] Gen. 2: 7. — **25/26**] Gal. 1: 15. — **31/32**] Joh. 1: 14.

12 *ἀνθρώπου γενομένου* A[1]FH Pic. | **15** *ζωοπλαστ.* AB (in B ist *σ* ausgelassen) DFH, *ζωοπλασθ.* d. übr. u. d. Ausgg. | **24—26** < Ruf. | **28** *εἴγε*] *εἴτε* ABEFGH, »*siquidem*« Pic. Per. | **29** *ἐκφαυλίζετε* d. HSS., *ἐκφαυλίζεσθαι* d. Ausgg.

Ad. d.: Accepit deus limum de terra, ut in melius conuerteret an in peius?

Mar. d.: Certum est quia in melius.

Ad. d.: Si limum terrae non erubuit deus accipere et plasmauit 5 atque ex deteriori meliorem speciem fecit, quomodo erubescebat suscipere quem in melius iam plasmando conuerterat?

Mar. d.: Quomodo hoc dicis?

Eutr. d.: Ais de limo hominem creatum esse. Aut non ita est?

Mar. d.: Ita est.

10 *Eutr. d.*: Quid ergo est honorabilius, quidue nobilius, limus aut homo?

Mar. d.: Homo.

Eutr. d.: Stultum est ergo dicere non erubuisse deum assumere id quod inferius erat et abiectius, erubescere autem debuisse assumere aliquid de melioribus. Si enim limum accipere non erubuit deus, quo- 15 modo hominem, quem ad imaginem suam fecerat, assumere erubescebat?

c. **XV.** *Ad. d.*: Quid autem et ipsa natura rerum de his uos non arguit quia usque in hodiernum uerbum dei est quod plasmat homines et format? Aut tu sine deo dicis plasmari homines in uulua matris? (Et quomodo his coelestem et rationabilem spiritum dabit quos non ipse 20 formauit?)

Mar. d.: Ego uirtutem dei dico plasmare homines.

Ad. d.: Audi ergo Paulum dicentem: *Christus dei uirtus et dei sapientia.* Audi et Iohannem euangelistam dicentem: *Omnia per ipsum facta sunt et sine ipso factum est nihil.* Sed et Ieremias propheta deum 25 ostendit esse plasmatorem et formatorem hominum, dicens: *Priusquam te formarem in utero, noui te.* In quo et quid prius nosset et postea formasset ostendit. Sed et Dauid: *Manus tuae,* inquit, *fecerunt me et plasmauerunt me.* In Genesi quoque ita scriptum est: *Accepit deus limum de terra et plasmauit hominem.* Si ergo ostenditur ex his omnibus scrip- 30 turae testimoniis quod uerbum dei est quod plasmat homines, quomodo consequens uidebitur turpe putari in deo, si id assumserit quod opus ipsius esse nec alterius approbatur? Et quomodo rectum est id quod inferioribus ascribas in melioribus recusare.

c. **XVI.** *Mar. d.*: Sed quid facimus ad manifestam sententiam scrip- 35 turae, quae dicit eum coeleste corpus habuisse? sicut in euangelio Iohannis scriptum est: *Uerbum caro factum est et habitauit in nobis.*

8 Ais] Cod. agis. Darüber mit roten Buchstaben »Ais«. Statt »ait, ais« wird im Cod. öfter »agit, agis« geschrieben, indem man zur Vermeidung des Hiatus ein »g« einschob | 17 Cod. uerbi. Ein durch das folgende »dei« hervorgerufener Fehler | 29/30 Cod. scriptū.

ΑΔ. Ὁ εὐαγγελιστὴς πάνυ ὀρθοδόξως ἐξέθετο τὸν λόγον, δείξας ὅτι ἐν ἡμῖν ἐσκήνωσεν ὁ λόγος, τουτέστιν ἐν τῇ ἡμετέρᾳ σαρκί.

ΜΑΡ. Ἀλλ' ὁ λόγος σὰρξ ἐγένετο.

ΑΔ. Εἰ μὲν εἶπεν ὅτι ὁ λόγος σὰρξ ἦν, εἶχές τι λέγειν, τὸ δὲ 5 ἐγένετο ἔδειξε σαφῶς προσγενόμενόν τε τὸ οὐκ ὄν, καὶ ὅτι τὸ οὐκ e ἤδη ὂν αὐτὸ γέγονεν. οὐ γὰρ τὸ γεγονὸς ὂν λεχθήσεται ἀλλὰ [τὸ] γενόμενον, οὐκ ὂν τοῦτο πρὶν γενέσθαι. οὐκοῦν γέγονε σὰρξ τοῦ λόγου προόντος, τὸ γὰρ γενόμενον μεταγενέστερον τοῦ ὄντος.

ΜΑΡ. Ὁ λόγος αὐτὸς σὰρξ ἐγένετο, οὐδὲν ἔξωθεν προσλαβών.

10 ΑΔ. Τρεπτός ἐστιν ὁ λόγος τοῦ θεοῦ, ἢ ἄτρεπτος;

ΜΑΡ. Ἄτρεπτος.

ΕΥΤΡ. Βουλόμενος δεῖξαι ὅτι οὐκ ἀνέλαβε σάρκα ὁ τοῦ θεοῦ λόγος καὶ φεύγων, περιπείρῃ δεινοτάτῃ καὶ ἀσεβεῖ βλασφημίᾳ.

ΜΑΡ. Ποία ταύτη;

15 ΕΥΤΡ. Ἓν μὲν ὅτι τῷ ὅρῳ σου ὁ λόγος οὗτος οὐ συνδραμεῖται, f δεύτερον δὲ ὅτι τρεπτὸς εὑρεθήσεται ὁ λόγος εἰ κατὰ σὲ γέγονε σάρξ. τὸ γὰρ τρεπόμενον παρ' ὃ πέφυκεν οὐκέτι ἔσται ὃ ἦν, ἀλλ' ὃ γέγονε. περισσὸν οὖν τὸ λέγειν λόγον θεοῦ εἶναι τὸν Χριστόν. οὐ γάρ ἐστι λόγος ἀλλὰ σὰρξ κατὰ σέ. περισσὸν δὲ καὶ τὸ ἐξ οὐρανοῦ φάσκειν 20 αὐτὸν ἐσχηκέναι σάρκα.

ΑΔ. Εἰ τὸν λόγον φάσκει σάρκα γεγενῆσθαι καὶ μὴ ἀνειληφέναι σῶμα ἀνθρώπου, φρασάτω τί ἐστι τὸ πεπονθὸς ἐπὶ τοῦ σταυροῦ.

ΜΑΡ. Δοκήσει πέπονθεν αὐτός.

ΕΥΤΡ. Δοκήσει, τουτέστι φαντασίᾳ καὶ οὐκ ἀληθείᾳ. |

851 ΑΔ. Εἰ δοκήσει καὶ οὐκ ἀληθείᾳ πέπονθε, δοκήσει καὶ Ἡρώδης δικάζει, δοκήσει Πιλᾶτος ἀπονίπτεται τὰς χεῖρας, δοκήσει καὶ Ἰούδας παρέδωκε, δοκήσει καὶ Καϊάφας, δοκήσει καὶ Ἰουδαῖοι κατέσχον αὐτόν, δοκήσει καὶ οἱ ἀπόστολοι * * * *, δοκήσει καὶ τὸ αἷμα αὐτοῦ ἐξεχύθη,

5 ὅτι < ABDFGH | **5/6** οὐκ ἤδη τὸ ὂν d. HSS. | **6** τὸ in all. HSS. | **27/28** Nach *Καϊάφας* erwartet man ein neues Verbum (F in mg. von späterer Hand *ἔκρινεν*); es kann jedoch *παρέδωκεν* aus dem vorangehenden dazu gedacht werden, vgl. Ruf. u. Mt. 27: 2 *καὶ παρέδωκε Πιλάτῳ*. Nach *ἀπόστολοι* ist aber gewiss ein Wort ausgefallen. Ruf.: *assistere ei*. Schrieb der Verf. vielleicht *παρῆσαν αὐτῷ*? Ob *κατέσχον* richtig ist, und was Ruf. mit »*clamare*« übersetzt hat, kann ich nicht ermitteln.

Ad. d.: Satis recte et catholice dicit euangelista quia uerbum habitauit in nobis, hoc est in carne nostra.

Mar. d.: Sed *uerbum*, inquit, *caro factum est.*

⟨*Ad. d.*:⟩ Siquidem dixisset quia uerbum caro erat, uidereris aliquid 5 dicere, quod autem dixit: *Caro factum est* manifeste ostendit quia id quod assumtum est factum est. Non enim hoc quod erat factum dicitur, sed id quod non erat factum est. Caro ergo facta est, cum iam esset uerbum, quia id quod factum est posterius est eo qui erat.

Mar. d.: Ipsum uerbum carnem factum dicit; non dicit quia aliquid 10 extrinsecus assumserat.

Ad. d.: Ergo mutabile et conuertibile dicis esse uerbum dei?

Mar. d.: Immutabile est uerbum dei.

Eutr. d.: Dum uis ostendere quia carnem non assumsit uerbum et dum hoc refugis, incurristi blasphemiam.

15 *Mar. d.*: Quam?

Eutr. d.: Quia mutabile et conuertibile dicis esse uerbum dei, quippe si ipsum uerbum in carnem dicis esse mutatum. Si enim mutatur natura sua in aliud, iam non erit illud quod fuit, sed id quod factum est. Etiam sine causa uerbum dei dicis esse Christum, cum in carnem 20 mutatum sit et caro magis dici debeat.

c. **XVII.** *Ad. d.*: Sed et illud, uerbum dicens carnem effectum permutatione et non assumtione, dicat: Quid est quod passum est in carne?

Mar. d.: *ΔΟΚΗΣΙ* passus est, id est putatiue, ut putaretur pati magis 25 quam pateretur.

(Explicit liber quartus.)

(Incipit quintus.)

c. **I.** *Eutr. d.*: Hoc est quod dicis quia fantasia quaedam fuit et non ueritas.

30 *Ad. d.*: Si putatus est pati et non uere passus est, ergo et Herodes uel Pilatus putabatur iudicare et non iudicabat, et putabatur manus suas lauare et non lauabat. Sed et Iudas, qui tradidit dominum, putabatur tradere et non tradebat, et Caifas putabatur, et Iudaei putabantur

4 Ad. d.] Diese Überschrift ist im Cod. ausgefallen, weshalb die folg. Worte »Si quidem — qui erat« als Worte des Mar. erscheinen | **10** assumserit? | **17** Si, vor »ipsum« Casp.: qui. — B | **19** Cod. carne | **21** dicens] Cod. dici. Vielleicht: si uerbum dicit | **24** δοκησι im Cod. mit Capitalbuchstaben | **26/27** Explicit — quintus bildet im Cod. eine Zeile | **33** Hier scheint etwas, was Caiphas bei Christi Passion that, z. B. scindere uestimenta sua Mt. 26: 65 ausgefallen zu sein. (Vgl. d. gr. T. — B).

δοκήσει καὶ οἱ εὐαγγελισταὶ εὐηγγελίζοντο, δοκήσει καὶ ἦλθεν ἀπ' οὐρανῶν καὶ δοκήσει ἀνῆλθε, δοκήσει δὲ καὶ ἡ σωτηρία τῶν ἀνθρώπων καὶ οὐκ ἀληθείᾳ. πῶς οὖν λέγει ὁ Χριστός· ἐγώ εἰμι ἡ ἀλήθεια;
ΕΥΤΡ. Μαρῖνος διαβεβαιοῦται· λόγῳ μὲν λέγει ὁ Χριστὸς ὅτι·
5 ἐγώ εἰμι ἡ ἀλήθεια, ἔργῳ δὲ οὐδὲν ἀληθὲς πράττει.

b ΜΑΡ. Ἐγὼ ἀπὸ τῶν γραφῶν δεικνύω ὅτι ἀπ' οὐρανῶν ἔχων ἦλθε σῶμα.
ΑΔ. Ἔστιν ⟨οὖν⟩ οὐσία καὶ ὑπόστασις σαρκικὴ ἐν οὐρανῷ; χρὴ γάρ σε ἀπὸ γραφῶν δεῖξαι ὅτι ἔστιν οὐσία ἐν οὐρανῷ ἔχουσα σάρκα
10 καὶ ὀστέα καὶ αἷμα, καὶ τότε ἐπὶ τὰς ἀποδείξεις ἐλθεῖν.
ΜΑΡ. Ἐπὶ σώματος δεικνύω. λέγει γὰρ ὁ ἀπόστολος· σώματα ἐπουράνια καὶ σώματα ἐπίγεια.
ΑΔ. Σῶμα ὁ ἀπόστολος ὀνομάζει οὐρανόν, ἥλιον, σελήνην. οὕτω γὰρ φάσκει· σώματα ἐπουράνια καὶ σώματα ἐπίγεια. ἄλλη
15 δόξα ἡλίου καὶ ἄλλη δόξα σελήνης, ἄλλη δόξα ἀστέρων·
c ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ· οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. δεῖξον οὖν εἰ σὰρξ καὶ ὀστέα καὶ αἷμα ἔχει ὑπόστασιν ἐν οὐρανῷ.
ΜΑΡ. Σῶμα καὶ σὰρξ τὸ αὐτό ἐστιν.
20 ΕΥΤΡ. Ὁ ἀπόστολος σώματα, δηλονότι οὐρανόν, ἥλιον, σελήνην ἐμφαίνει.
ΑΔ. Οὐκ ἔστι τὸ αὐτό. μὴ δυνάμεθα τὸν οὐρανὸν σάρκα ὀνομάσαι, σῶμα δὲ ὀνομάζομεν. δεῖξον οὖν πρῶτον ὅτι σὰρξ καὶ ὀστέα καὶ αἷμα ἔχει οὐσίαν ἐν οὐρανῷ, καὶ τότε παρέξεις τὰς ἀποδείξεις.
25 ΕΥΤΡ. [πρὸς πάντας]. Ἀδαμάντιος φάσκει ἐπίγειον αὐτὸν σάρκα ἀνειληφέναι, τουτέστιν ἐκ τῆς ἡμετέρας, Μαρῖνος δὲ οὐράνιον δια-
d βεβαιοῦται. χρὴ οὖν δειχθῆναι εἰ ἔστιν ἐν οὐρανῷ οὐσία σαρκός, καὶ τότε ἐπὶ τὰς ἀποδείξεις τραπῆναι πότερον ἀπὸ τῆς ἐπιγείου ἀνείληφεν ἢ ἀπὸ τῆς ἐπουρανίου.

3] Joh. 14: 6. — **11/12**] 1 Cor. 15: 40. — **14—17**] 1 Cor. 15: 40—42.

4 Nach *διαβεβαιοῦται* ist vielleicht *ὅτι* zu ergänzen. Ruf.: *quia* | **8** *οὖν* < d. HSS., Ruf.: *ergo* | **9** *σάρκας* AEFG | **20** *οὐρανὸν*] »*coelestia*« Ruf. | **20** Man beachte die ganz verschiedene Auffassung der Worte des Eutr. bei Ruf. Bei ihm will Eutr. von Ad. belehrt werden; im gr. Texte weist er Marinus zurecht. Ruf. hat den Zusammenhang nach seinem Gutdünken verbessert | **24** *παρέξεις* Wettst., *παρέχεις* d. HSS., »*edocebis*« Ruf. | **25** In den Ausgg. wird *πρὸς πάντας* fälschlich mit dem Folgenden verbunden: *Πρὸς πάντας Ἀδαμάντιος φάσκει.* Es besagen diese Worte *πρ. π.*: Eutr. spreche hier nicht den Ad. oder Mar. an, sondern alle Zuhörer. Diese Bemerkung, welche S. 833c am rechten Orte steht, ist hier m. E. nicht originell, vielmehr eine Randbemerkung eines Lesers.

clamare, putabantur et apostoli assistere ei, putabatur et sanguis eius effusus et non est effusus, putabantur et euangelistae annunciare euangelium sed non annunciarunt, et ipse putabatur uenisse de coelis sed non uènit, et putabatur resurrexisse a mortuis et non resurrexit, puta-
5 batur et salus hominibus data et non est data. Quomodo ergo dicit Christus quia *Ego sum ueritas*?

Eutr. d.: Quid dicis Marine? Hoc ais quia Christus uerbo quidem dicit: *Ego sum ueritas*, re autem et opere nihil ueritatis agit?

c. **II.** *Mar. d.*: Ego de scripturis ostendo quia de coelis uenit
10 habens corpus coeleste.

Ad. d.: Est ergo aliqua carnis substantia in coelis? Oportet enim te et hoc de scripturis ostendere si aliqua substantia carnis in coelis est habens ossa et sanguinem.

Mar. d.: Ostendo corpus dici in coelis. Ita enim apostolus dicit:
15 *Corpora coelestia et corpora terrestria.*

Ad. d.: Corpus nominat coeleste apostolus coelum ipsum, uel solem, uel lunam et stellas. Ita enim dicit: *Corpora coelestia et corpora terrestria. Sed alia gloria solis, alia gloria lunae, alia gloria stellarum; stella ab stella differt in gloria. Ita et resurrectio mortuorum.* Ostende ergo si caro et
20 sanguis et ossa habent in coelo substantiam.

Mar. d.: Corpus et caro idem est.

Eutr. d.: Quomodo apostolus corpora coelestia nominat de sole et luna?

Ad. d.: In homine quidem uel in caeteris animalibus caro et corpus
25 idem est. Non tamen possumus coelum carnem nominare, corpus autem nominamus. Ostende ergo si caro et sanguis et ossa habent in coelo substantiam suam, et tunc de caeteris edocebis.

Eutr. d.: Adamantius dicit quia terrenam carnem assumserit Christus, id est nostrae substantiae, Marinus autem dicit coelestem. Et quidem,
30 quia sit substantia carnis in terris nemo dubitat. Similiter ergo ostendi debet si sit etiam in coelis, ut ita demum uideatur unde potissimum sumserit. Si enim neque existere carnis substantia doceatur in coelis, superfluum est requirere utrum inde assumserit, ubi nec inueniri eius substantia constat.

12 hoc] Cod. haec | **22** Man erwartet entweder »dicit de sole et luna« oder »nominat solem et lunam«.

ΑΔ. Προδήλου οὔσης τῆς ὑποστάσεως τῆς σαρκικῆς, παρέξομαι καὶ ἀποδείξεις ἐκ τῶν γραφῶν ὅτι σάρκα καὶ αἷμα καὶ ὀστέα ἀνέλαβεν ὁ οὐράνιος λόγος, καὶ πρῶτόν γε ἀπὸ τοῦ εὐαγγελίου. μετὰ γὰρ τὴν ἐκ νεκρῶν ἔγερσιν, ἀπιστοῦντος αὐτῷ Θωμᾶ, ἔφασκε· βάλε
5 τὸν δάκτυλόν σου εἰς τοὺς τύπους τῶν ἥλων καὶ τὴν χεῖρά σου εἰς τὴν πλευράν, καὶ μὴ γίνου ἄπιστος ἀλλὰ πιστός. πνεῦμα γὰρ σάρκα καὶ ὀστέα οὐκ ἔχει ὡς ἐμὲ ὁρᾶτε ἔχοντα.

ΕΥΤΡ. Ὁ Χριστὸς ἔδειξε σαφῶς σάρκα καὶ ὀστέα ἐσχηκέναι.
e χρὴ οὖν πρῶτον δειχθῆναι ὅτι οὐσία ἔστιν ἐν οὐρανῷ ἔχουσα σάρκα
10 καὶ ὀστέα, καὶ τότε τὸ ἀσφαλέστερον εὑρήσετε.

ΜΑΡ. Ἔδειξα τὸ σώματα ἐπουράνια.

ΕΥΤΡ. Δείκνυται οὖν ἀστέρων αὐτὸν ἀνειληφέναι σάρκα καὶ ὀστέα, ὅπερ ἀδύνατον.

ΑΔ. Εὐδηλότερόν σε ἐπιστήσει Παῦλος, τὴν διαστολὴν σώματος
852 καὶ σαρκὸς δεικνύς· οὕτω καὶ ὑμεῖς ποτε ἦτε, | φησίν, ἐχθροὶ τοῦ θεοῦ καὶ ξένοι τῆς ἐπαγγελίας τῶν διαθηκῶν· νῦν δὲ ἀντικατήλλαξεν ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ, δείξας σαφῶς καὶ σῶμα καὶ σάρκα αὐτὸν ἀνειληφέναι.

(*ΕΥΤΡ.* Δειξάτω εἰ ἔστιν οὐσία ἐν οὐρανῷ ἔχουσα σάρκα καὶ
20 αἷμα καὶ ὀστέα.)

ΜΑΡ. Οὐράνιον ἔσχε καὶ δείκνυμεν ὅτι οὐράνιον ἦν.

ΑΔ. Ἀπὸ ποίας οὐσίας; ἀπὸ τῆς ἀγγελικῆς; ἀλλ' ἀπὸ τῆς ἐξουσίας; ἀλλ' ἀπὸ κυριότητος; πόθεν ἀνείληφε; λέγε.

ΕΥΤΡ. Μὴ δείξαντες οὐσίαν, σάρκα οὐράνιον φάσκετε αὐτὸν
25 ἀνειληφέναι. ἀνάγκη οὖν ἐκ μὴ ὄντων λέγειν αὐτὸν ἀνειληφέναι.

ΜΑΡ. Δοκήσει φαμὲν αὐτὸν ἀνειληφέναι, ὡς καὶ οἱ ἄγγελοι τῷ
b Ἀβραὰμ ὤφθησαν καὶ ἔφαγον καὶ ἔπιον μετ' αὐτοῦ, οὕτω καὶ αὐτός.

ΑΔ. Τί οὖν ἡμᾶς ἦλθε διδάξαι τὴν ἀλήθειαν ἵνα δι' αὐτῆς σωθῆναι δυνηθῶμεν; ἢ καθ' ὑμᾶς ψευδόμενος ἐπηγέλλετο ἡμῖν τὴν
30 σωτηρίαν; εἰ μὲν διὰ τοῦ ψεύδους ἡμᾶς καλεῖ εἰς τὴν ζωήν, οὐκ ἀληθὴς [οὖν] ἦν ἡ τοῦ ψεύδους ἐπαγγελία· εἰ δὲ ἀληθείας διδάσκαλος

4—7] Joh. 20: 27, Lc. 24: 39. — **15—17**] Eph. 2: 12, 16, Col. 1: 21.

4 *ἔγερσιν*] *ἀνάστασιν* H | **5** *τύπους* BDEFGH Pic. Humfr., *τόπους* AC d. Ausgg. | **10** *τὸ* < B¹ | **19/20** Diese Worte des Eutr. *δειξάτω — ὀστέα* finden sich nicht bei Ruf. Sie sind gewiss hier unbequem, weil die Antwort des Mar. *οὐράνιον ἔσχε* sich eng an die Rede des Ad. anschliesst. Ruf. kann sie aber gerade darum ausgelassen haben | **23** *τῆς κυρ.* H | **29** *ἢ* in allen HSS., von d. l. R. aus Versehen ausgelassen | *ἐπηγγέλλετο*] *ἐπηγγέλετο* ABFH, *ἐπηγγείλετο* d. übr. u. d. Ausgg. | **31** *οὖν* < CFH Pic.

c. **III.** *Ad. d.*: (Doceat uerbum ipsum quem docere hoc non potest.) Ergo, cum manifestum sit nonnisi in terris naturam ⟨carnis⟩ existere, de scripturis probo quia carnem et sanguinem et ossa uerbum dei assumsit. Ergo hoc quod in euangelio dicitur (et uinctus et flagellis 5 caesus et in cruce clauis confixus manus ac pedes, etiam a milite latus eius lancea perforatum, unde et sanguis profluxisse perscribitur.) In tantum autem haec in carnis ueritate gesta sunt, ut etiam post resurrectionem discipulo dubitanti diceret: *Mitte manus tuas in fixuras clauorum et in latus meum, et noli esse incredulus sed fidelis* et: *Spiritus* 10 *carnem et ossa non habet, sicut me uidetis habere.*

Eutr. d.: Manifeste haec omnia declarant quia Christus carnem et ossa habuit. Sed quid plura? Ostende, si potes, Marine, esse in coelo substantiam carnem et ossa habentem, et tunc poterit patere quod quaeritur.

15 *Mar. d.*: Ostendi corpora coelestia.

Eutr. d.: Ostenditur ergo stellarum eum carnem uel ossa suscepisse et sanguinem, quod utique impossibile est.

Ad. d.: Manifestius te instruet Paulus, distinctionem carnis et corporis docens hoc modo: *Et uos*, inquit, *cum essetis aliquando inimici dei et* 20 *peregrini repromissionis testamentorum, nunc autem reconciliati estis in corpore carnis eius.* Ostendit manifeste quia et corpus et carnem habuit.

Mar. d.: Coeleste corpus habuit, et ostendo quia coeleste fuit.

Ad. d.: Ex qua substantia? angelorum? an potestatum? an dominationum? Unde uel ex qua substantia assumserit corpus edicito.

25 *Eutr. d.*: Cum non ostendatur substantia carnis in coelis, quomodo dicetur inde assumsisse carnem, ubi non est?

c. **IV.** *Mar. d.*: *ΔΟΚΗΣΙ*, id est putatiue dicimus eum assumsisse corpus, sicut et angeli qui uisi sunt Abrahae, qui et manducauerunt et biberunt cum eo. Ita dicimus quia et hic fecerit.

30 *Ad. d.*: Quid ergo uenit nos docere ueritatem is, in quo hoc quod uidebatur ueritas non erat? Et quomodo nobis salutem praestitit? Per mendacium nos uocauit ad uitam? Quomodo res falsa uera credetur esse promissio? Et quomodo ueritatis magister esse poterat qui in ueritate

1 ipsum] Cod. ipse | quem] Cod. qui. — B | **2** carnis ist im Cod. ausgefallen | **4** »Ergo hoc quod« kann die richtige LA. nicht sein. Caspari: Ergo hoc ⟨profero⟩ quod. Er bemerkt: „Vielleicht ist »Profero ergo hoc« oder »Profero« zu lesen“. Diese Conjectur scheint mir aber nicht zutreffend zu sein. Man könnte fragen, ob dieser Satz mit dem vorangehenden zu verbinden sei und so zu lesen: probo quia — assumsit ex hoc quod cet. Es bleibt aber sehr ungewiss, da der ganze Satz im gr. T. fehlt. — B | Cod. in euangelio quod, mit »b« über »in« und »a« über »quod« | **12** »Maxime« und darüber »Marine« | **21** Ostendit] Cod. ostendo. Man kann ebensogut »ostendens« vermuten. — B | **32** res] Cod. rei.

ἦν, δῆλον ὅτι πρῶτον αὐτὸς ἦν ἀληθεύων. [πατέρα γὰρ ἴδιον ὁμολογεῖ ὁ Χριστὸς τὸν ἀπεσταλκότα αὐτόν. ὁ γὰρ πατὴρ οὐ καλῶς νοεῖται πατὴρ εἰ μὴ εἴη τις ἐξ αὐτοῦ γεγεννημένος. ἀγέννητον δὲ οὗτοί φασι τὸν Χριστόν.]
c ἐλέσθωσαν οὖν τίνα θέλουσιν εἶναι τῶν δύο λόγων ψευδῆ, τὸν ἑαυτῶν
5 ἢ τὸν τοῦ Χριστοῦ. ἀρνούμενοι δὲ καὶ τὴν κατὰ σάρκα γέννησιν καὶ οἰκονομίαν Χριστοῦ, πῶς ἀκούουσιν αὐτοῦ λέγοντος ἑαυτὸν υἱὸν ἀνθρώπου; εἰ γὰρ τῷ δοκεῖν σχήματι ἀνθρώπου ἐφαίνετο, τίς χρεία τοῦ λέγειν ἑαυτὸν υἱὸν ἀνθρώπου; ἐχρῆν γὰρ ἁπλῶς λέγειν· δεῖ τὸν ἄνθρωπον πολλὰ παθεῖν. [οἱ δὲ ἐν ψευδεῖ μορφῇ φασιν πεφηνέναι
10 τὸν κύριον καὶ μὴ ἀληθῶς καθὸ ἦν ἐγνῶσθαι.] εἰ γὰρ τὴν ἀλήθειαν
d διδάξαι τοὺς ἀνθρώπους ἐβούλετο, διὰ τί οὐχὶ ἄνθρωπον, ἀλλ' υἱὸν ἀνθρώπου ἑαυτὸν ἔλεγε, ψευδόμενος ὅπερ οὐκ ἦν; ἀλλ' ἀληθῶς καὶ ἁπλῶς ἂν τοῦθ' ὅπερ ἦν ἔλεγε περὶ αὐτοῦ. οὔτε γὰρ ἐνδοξότερον ἑαυτὸν ἐποίει ἀντὶ θεοῦ ἄνθρωπον νομίζεσθαι, οὔτε ἂν μᾶλλον αὐτῷ
15 ἐπίστευον ἄνθρωπον δοκοῦντες ἢ θεόν. καί, εἰ μὲν γνωσθῆναι βουλόμενος τὴν κατ' αὐτοὺς ἀλήθειαν ἀφῖκται εἰς τὸν κόσμον, οὔτε μεταμορφοῦσθαι ἐχρῆν εἰς τὸ μὴ φαίνεσθαι ὃ ἦν, ἀλλ' ἀγνοεῖσθαι, οὔτε μήν, σιωπήσαντα τοῦθ' ὅπερ ἦν ἀληθῶς, ἄνθρωπον ἀντὶ θεοῦ ἑαυτὸν καλεῖν. καὶ τοῦτ' ἐλέγομεν ἂν εἰ ἁπλῶς ἑαυτὸν ἄνθρωπον
20 ἔλεγεν, ὅτε δὲ καὶ υἱὸν ἀνθρώπου φάσκει εἶναι ἑαυτόν, πῶς τεχνά-
e ζονται οὗτοι ⟨οἱ⟩ ψεύδους προιστάμενοι ὅτι διὰ τὸ ἐν ἀνθρωπίνῳ

8/9] Mc. 8: 31, Lc. 9: 22.

1 πρῶτον] »*Primum*« Pic., πρῶτος d. HSS. | 1—3 Die Worte πατέρα — τὸν Χριστὸν sind gewiss unecht. Bei Ruf. fehlen sie. Von dem was sie aussagen, d. h. von der Zeugung Christi durch den Vater, ist hier gar nicht die Rede, sondern von der Lehre der Doketen. Marinus leugnete τὴν κατὰ σάρκα γέννησιν, die Geburt aus einer Frau, und die δύο λόγοι sind nicht — wie es durch diese Interpolation den Anschein hat — die Dogmata: dass Christus ἐκ τοῦ πατρὸς γεγεννημένος, und: dass er ἀγέννητος sei, sondern die Lehre der Doketen und die Lehre Christi, dass er wahrhafter Mensch sei. Die eingeklammerten Worte sind aus der Feder eines Lesers geflossen, der an einem Beispiel zeigen wollte, dass die Häretiker Lügner sind, dem es aber an der Einsicht in den Cardo Quaestionis fehlte | 7 τῷ] τὸ DEFH | 8 δεῖ < B[1] | 9 οἱ δὲ] εἰ δὲ A[1]B[1] | πεφυκέναι FH | 9/10 οἱ δὲ — ἐγνῶσθαι] Diese Bemerkung, die ebenfalls in der Übers. des Ruf. fehlt, ist ebensowenig echt als die vorangehende. Obgleich unser Verf. kein grosser Stilist ist, so konnte er doch mitten in der Beschreibung und der Bestreitung des Doketismus eine solche naive Bemerkung hier nicht machen. Sie scheint mir eine Randbemerkung zu sein zu den Worten πῶς ἀκούουσι — υἱὸν ἀνθρώπου; | 13 περὶ αὐτοῦ d. HSS. u. d. Ausgg. | 13/14 In οὔτε γὰρ — νομίζεσθαι steckt ein Fehler. Man lese: τῷ ἀντὶ (den Accus. ἄνθρωπον st. d. Nom. kann man einem späten Schriftsteller nachsehen) oder: αὐτὸν ἐποίει τὸ ἀντί. Statt νομίζεσθαι H: ὀνομάζεσθαι | 16 καθ' αὐτοὺς d. HSS. u. d. Ausgg. (καθ' αὐτὸν C), αὐτοὶ sind die Lehrer des Doketismus | 21 οἱ < d. HSS. | τὸ ἐν ἀνθρωπίνῳ] τὸ τοὐναντίον d. HSS., verdorben aus τοεναν̅ινω. Ruf. übersetzt hier nicht, sondern paraphrasiert. Das war gerade die Lehre der

non uenerat? Tum deinde credendum est uerbis eius, an non? Est credendum, nec quaestio habenda est. Si autem credere nos confitemur, quomodo ipse de se dicit quia filius hominis est? Nam si uidebatur tantummodo esse homo, ut quid se filium hominis diceret et non magis
5 hominem? Nunc autem dicit quia *Oportet filium hominis multum pati.* Si enim, ut uos dicitis, putabatur esse homo, secundum hoc ipsum quod putabatur homo quidem dici potuit, filius autem hominis qui natus est ex homine, ⟨si⟩ non fuerat, dici omnino non poterat. Sed, cum non esset homo, cur se hominem esse simularet? Numquid gloriosius se
10 hominem pro deo nominabat? aut magis ei credi poterat, si hominem se diceret, quod non erat, quam deum, quod erat? Et hoc dicimus, si se simpliciter hominem pronuntiasset. Nunc autem, cum se non solum hominem, sed et filium hominis dicit, quid arte et calliditate ueritatem uultis obtegere? Quodsi in Adam et Eua seruatur ueritas apud scrip-
15 turam et non dicuntur filii hominis, quia ex hominibus nati non sunt sed tantummodó homines appellantur, quae appellatio indicat ipsam substantiam, quomodo non haec eadem ueritas seruaretur in Christo, ne

8 »Si« fehlt im Cod. Caspari: cum oder quia. — B.

σχήματι βλέπεσθαι νοεῖται πάντως ὅτι ἀνθρώπου ἐστὶν υἱός; καὶ τί λέγω περὶ μόνου σχήματος; ὅτι οὐ μόνον τῷ σχήματι φαίνονται ἄνθρωποι, ἀλλὰ καὶ τῇ οὐσίᾳ, φύσει ἄνθρωποι ὄντες. ὅ τε γὰρ
853 Ἀδὰμ καὶ ἡ Εὔα υἱοὶ ἀνθρώπων οὔτε ὑπῆρχον οὔτε | ἐκαλοῦντο·
5 εἰ μὲν γὰρ τῆς οὐσίας τῶν ἀνθρώπων ὑπῆρχε σημαντικὸν τὸ υἱός, ἐχρῆν καὶ τὸν Ἀδὰμ καὶ τὴν Εὔαν, ἀνθρώπους ὄντας, υἱοὺς ἀνθρώπων καλεῖσθαι, τούς τε πλειστάκις ἐν εἴδει καὶ ὁμοιώσει ἀνθρώπων ἁγίους ἀγγέλους πεφηνότας οὕτω κεχρῆσθαι τῇ υἱὸς ἀνθρώπου προσηγορίᾳ ἔδει.

10 *ΕΥΤΡ.* Οὐ τὴν οὐσίαν τῶν ἀνθρώπων δηλοῖ ⟨τὸ⟩ υἱός, ἀλλὰ τὴν ἐξ ἀνθρώπων γέννησιν.

ΜΑΡ. Ἐγώ φημι ὅτι, ὥσπερ οἱ ἄγγελοι τῷ Ἀβραὰμ ὤφθησαν καὶ ἔφαγον καὶ ἔπιον καὶ ὡμίλησαν, οὕτω καὶ ὁ Χριστός.

ΑΔ. Πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας τύποι ἐγίνοντο, ἐλθούσης
15 δὲ τῆς ἀληθείας οἱ τύποι ἐπαύθησαν κατὰ τὸν ἀπόστολον. ὁ γὰρ
b νόμος σκιὰ τῶν μελλόντων ἀγαθῶν. εἰ οὖν καὶ ὁ Χριστὸς σκιωδῶς καὶ προφητικῶς καὶ αὐτὸς ὡς οἱ ἄγγελοι ἦλθεν, ἄλλον νῦν οὖν κατὰ σὲ προσδοκᾶν ὀφείλομεν ἀληθῶς, καὶ υἱὸν ἀνθρώπου ὄντα καὶ ἀληθῶς ἀποθνήσκοντα καὶ θαπτόμενον καὶ ἐγειρόμενον ἐκ νεκρῶν
20 καὶ ἀληθινὴν σωτηρίαν δώσοντα τοῖς ἀνθρώποις.

ΜΑΡ. Εἰ τύποι ἦσαν τοῦ Χριστοῦ οἱ ἄγγελοι, πῶς ἔφαγον μετὰ τοῦ Ἀβραὰμ καὶ ἔπιον; ἔφαγον δὲ ἀληθῶς ἢ οὔ;

ΑΔ. Οἱ ἄγγελοι, πρότυποι γενόμενοι τῆς ἀληθείας, τουτέστι τοῦ σωτῆρος Χριστοῦ, ἔφαγον μὲν ἀληθῶς, οὐδεμίας αὐξήσεως τοῖς
25c σώμασιν αὐτῶν ἐκ τῆς τροφῆς προσγινομένης· ὥσπερ γὰρ τὸ πῦρ πάντα τὰ παραβαλλόμενα κατεσθίει καὶ καταναλίσκει, οὕτω καὶ οἱ ἄγγελοι μετὰ τοῦ Ἀβραάμ, καθὼς καὶ ὁ ἀπόστολος φάσκει· ταῦτα μὲν τύποι συνέβαινον ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν.

30 *ΕΥΤΡ.* Ὁ ἀπόστολος, ὥς ἔμοιγε δοκεῖ, σκιὰν καὶ τύπον ἐμφαίνει μελλούσης ἀληθείας, ἧς καὶ σχήματα γεγόνασιν οἱ ἄγγελοι. εὖ γε οὖν καὶ καλῶς στοιχήσει τῷ ἀποστολικῷ γράμματι ἡ τῶν ἀγγέλων εἰκὼν καὶ τύπος. εἰ δ᾽ ὥσπερ οἱ ἄγγελοι οὕτω καὶ ὁ Χριστὸς πέφηνεν,

16] Hebr. 10: 1. — **27—29**] 1 Cor. 10: 11.

Doketen, dass der Name »υἱὸς τοῦ ἀνθρώπου« nicht besage, dass Chr. aus einem Menschen geboren sei, sondern dass er eine menschliche Gestalt gehabt habe.

10 τὸ < d. HSS. | **14** ἐγένοντο C | **17** ἦλθεν ἄλλον] ἦλθε δι᾽ (E δὲ) ἄλλον d. HSS., »*alium nos exspectare*« Ruf. | **23** πρωτότυποι FH | **28** τύποι ABFH, τύποις d. übr. | **30** ὁ ἀπόστολος] »*Adamantius*« Ruf. | **32** καὶ καλῶς] καὶ < C | **33** τύπος] οὗτος d. HSS., Pic. *hoc pacto*, Humfr. *sic*. Ruf. übersetzt frei; vgl. jedoch sein »*conveniebat angelicae figurae vel formae*«. Auffallend ist das Fut. στοιχήσει. στοιχεῖ?

filius hominis diceretur, quia natus non fuisset ex homine? Uel certe cur non etiam sancti angeli, si quando dispensationis alicuius causa apparuerunt hominibus, in quibus similitudo magis hominum quam substantia erat, cur non etiam ipsi a scriptura filii hominum magis
5 quam homines appellati sunt?

Eutr. d.: Certum est quia non tam substantiam hominis indicat uocabulum filii hominis quam hoc quod ex homine natus est.

c. V. *Mar. d.*: Ego hoc dico quia sicut angeli, qui uisi sunt Abrahae, manducauerunt et biberunt et locuti sunt, ita et Christus.

10 *Ad. d.*: Ante aduentum Christi fiebant huiusmodi uisiones, in quibus figurae et formae futurorum signarentur. Cum autem uenit ueritas, figurae cessarunt secundum apostolum dicentem: *Lex enim umbram habens futurorum bonorum (non ipsam imaginem rerum)*. Si autem Christus adhuc in umbra et figura uenit, sicut et hi qui in lege scripti
15 sunt uel sicut angeli uenerunt, necesse est ergo secundum tuam sententiam alium nos exspectare substantiuum Christum, qui uere filius hominis sit futurus, et qui uere pro peccatis nostris moriatur et sepeliatur, et qui uere resurgat ex mortuis, et qui ueram nobis conferat salutem.

Mar. d.: Si in forma uel in figura uenerant illi angeli, quomodo
20 manducauerunt cum Abraham et biberunt? Manducauerunt uere an non?

Ad. d.: Angeli quia praeformabant et praefigurabant ueritatem, id est saluatoris aduentum, manducauerunt quidem uere, sed nullum ex hoc corporis eorum accessit augmentum, quia, sicut ignis omnia quae ei admouentur assumit, non ut ipse ignis ex hoc ad suam substantiam
25 aliquid acquirat, sed ut quod uidetur appositum consumatur: ita ergo illi angeli qui cum Abraham fuerunt fecisse credendi sunt. Nam et apostolus ita dicit: *Haec omnia in figura illis contingebant, scripta sunt autem ad commonitionem nostram, in quos fines saeculorum deuenerunt.*

Eutr. d.: Adamantius hoc mihi uidetur asserere quod ea quae prius
30 gesta sunt figuram continerent et formam futurae ueritatis. Et quia angeli [qui] descenderant aliquid praefigurare de futuris, egerunt

1 Nach »non« steht im Cod. »sum«, mit einem Punkt vor »s« und einem nach »m«; Zeichen der Cassation des Worts. | 12 Cod. cessarunt, mit ae über der Zeile | 25 ergo] Caspari will »etiam« oder »et«, gr. καί. — B | 29 Cod. asserre | 31 Nach »aliquid praefigurare de futuris« ist aller Wahrscheinlichkeit nach ein Verbum ausgefallen, »uenerant« oder ein ähnliches. Vielleicht ist indessen »qui« vor »descenderant« zu streichen, in welchem Falle es keiner Ergänzung bedarf. (Das letzte ist gewiss die leichteste Conjectur. Oder: praefigurauerunt? — B).

d εἰκόνα καὶ σχῆμα τῆς ἀληθείας προφέρων, ἀνάγκη ἄλλον ζητεῖσθαι Χριστὸν οὗ τὰς εἰκόνας καὶ σχήματα οἱ ἄγγελοι καὶ ὁ Χριστὸς προφέρουσι, καὶ περισσὸν τὸ λέγειν τὸν Χριστόν· ἐγώ εἰμι ἡ ἀλήθεια.

ΑΔ. Σαφέστερον ἐπιστῆσαι βούλομαι περί τε τῆς εἰκόνος καὶ
5 τοῦ σχήματος καὶ τῆς ἀληθείας· τὸ μὲν γὰρ σχῆμα τῶν ἀγγέλων ἀκράτητον καὶ ἀψηλάφητον ἦν, ἡ δὲ ἀλήθεια, τουτέστιν ὁ Χριστός, κεκράτηται καὶ πέπονθε καὶ σάρκα καὶ αἷμα καὶ ὀστέα ἔσχηκε καὶ ἐγήγερται ἐκ νεκρῶν, καὶ οἱ μὲν ἄγγελοι ἀνθρώπους ἑαυτοὺς οὐχ ὡμολόγησαν, ὥσπερ ὁ Χριστός φησι· τίς μου ἥψατο; ᾐσθήθην
10 γὰρ δύναμιν ἐξελθοῦσαν ἐξ ἐμοῦ· ἐδείχθη γὰρ καὶ Θωμᾶς ψηλα-
e φῶν τὰς οὐλὰς τῶν τραυμάτων. πότερον οὖν ἐξαπατᾶν ἐβούλετο τοὺς ἀκούοντας καὶ μάλιστα τοὺς γνησίους αὐτοῦ μαθητὰς ὄντας; ἢ τὰ ἀληθῆ αὐτοὺς διδάσκων, ἐβούλετο αὐτοὺς εἰδέναι ὅτι καὶ ψηλαφητὸς ἦν καὶ οὕτω σάρκα καὶ αἷμα καὶ ὀστέα ἀνέλαβεν; εἰ δέ, ὡς
15 οὗτοί φασιν, ἄσαρκος καὶ ἄναιμος ἦν, ποίας σαρκὸς (ἢ τίνος σώματος) ἢ ποίου αἵματος εἰκόνας διδοὺς ἄρτον τε καὶ ποτήριον, ἐνετέλλετο τοῖς μαθηταῖς διὰ τούτων τὴν ἀνάμνησιν αὐτοῦ ποιεῖσθαι; ὧν καὶ ὁ ἀπόστολός ἐστι· μαρτυρῶν γὰρ τούτοις φησὶ τόν τε ἄρτον καὶ τὸ
f ποτήριον τῆς εὐλογίας κοινωνίαν αἵματός τε εἶναι καὶ σαρκός. εἰ δέ,
854 ὡς τούτοις δοκεῖ, δοκήσει καὶ οὐκ ἀληθείᾳ περὶ τὸν | κύριον ὑπῆρξεν ὅσα ἄνθρωπος τέλειος ἔχων ψυχὴν νοερὰν καὶ αἷμα καὶ σάρκα, οὔτε διὰ Παύλου τ' ἀληθῆ ἐκηρύττετο, καὶ μάτην κατὰ τούτους σπεύδομεν γνῶναι τὴν ἀλήθειαν, ἣν μήτε δι' αὐτοῦ, μήτε διὰ τοῦ ἀποστόλου σαφῶς ἐβουλήθη φανερῶσαι ὁ κύριος· πρὸς τῷ καὶ ἀντιπράσσειν
25 * * * * τοῦτο βουλόμεθα γνῶναι ὅπερ ἐκεῖνος γνωσθῆναι οὐ βούλεται. εἰ δὲ ἀληθής ἐστιν, αὐτοαλήθεια ὤν, ὁ πεπονθώς, ὁ Χριστός, ἀληθὴς ἔσται καὶ ὁ ὑπὸ τούτου ἀποσταλεὶς Παῦλος, λέγων· ἢ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ; καὶ πείθεσθαι δεῖ

3] Joh. 14: 6. — **9/10**] Lc. 8: 46. — **27/28**] 2 Cor. 13: 3.

3 *τὸν Χριστὸν*] *τὸν κύριον* G | **12** *αὐτοῦ*] *αὑτοῦ* d. HSS. ausgen. B | **15** *ἀναίματος* AB¹F (in mg. *ἄναιμος*) H | Es kann die Frage sein, ob *ἢ τίνος σώματος* echt sei. Es fehlt bei Ruf., *τίνος αἵματος ἢ τίνος σώματος* H | **21** *ἔχων* CDEF, *ἔχον* d. übr. Der Satz ist nicht vollendet. Schrieb der Verf. *ὅσα ἄ. τ. ἔχει, ἔχων*? | *ψυχὴν*] *ἀρχὴν* AFH Pic. | Vielleicht: *οὔτε δι' αὐτοῦ οὔτε δ. Π.* | **23** *δι' αὐτοῦ* d. HSS. u. Ausgg. | **24/25** *πρὸς τῷ καὶ ἀντιπρ. κτὲ.* ist unverständlich. Wenn wir das Lat. des Ruf. rückübersetzen, bekommen wir etwa: *πρὸς τούτοις καὶ ἀντιπράσσειν τῷ θεῷ εὑρισκόμεθα, εἰ τοῦτο β. κτὲ.* Man könnte mehrere Conjecturen versuchen, z. B. *πρ. τούτοις καὶ ἀντιπράσσοντες αὐτῷ εἰ τοῦτο κτὲ.* Was aber der Verf. schrieb, müssen bessere Codd. uns lehren | **27** *ἢ*] *εἰ* FH.

profecto secundum hoc quod conueniebat angelicae figurae uel formae. Si uero et Christus sic apparuit, sicut et angeli, imaginem et typum ueritatis annuntians, sine dubio necessarium est alium adhuc Christum requirere, cuius formam et figuram uel angeli uel Christus
5 designauerit; et inuenitur superflue dictum esse a Christo quia *Ego sum ueritas.*

c. **VI.** *Ad. d.*: Adhuc manifestius docere cupio de figuris et formis praecedentibus ueritatem et de ipsa ueritate. Nam ille habitus angelorum talis fuit, qui neque teneri neque contrectari possit; ueritas autem, hoc
10 est Christus, et tentus est et passus et carnem et ossa et sanguinem habuit, sicut scriptum est. Angeli nusquam uel homines se esse professi sunt, Christus uero et hominem se et filium hominis dicit et quia sensibile corpus habuerit profitetur, sicut cum dicit: *Quis me tetigit? Sensi enim uirtutem a me exisse.* Et rursum post resurrectionem contrectan-
15 dum se dubitanti discipulo praebuit. Numquid nam per fraudem uolebat proprios discipulos illudere, ut uellet eis persuadere carnem esse in se et ossa, quod non erat? Et quem alium quod uerum est docuit, si apostolos suos ueritatem celauit? Tum deinde ⟨si⟩, sicut isti dicunt, neque carnem neque sanguinem habuit, cuius carnis et cuius sanguinis
20 similitudinem nobis in sacramentorum obseruatione tradebat? Et quomodo per haec recordatio illorum fieret quae in eo non fuerant? Aut quomodo et apostolus rursum de his iisdem nos commonet et sacramentorum fidem sedula praescripti iteratione confirmat? Si enim, ut istis uidetur, omnia haec putabantur fieri ⟨et⟩ non sunt facta, et ipse Paulus
25 putabatur hoc dicere sed non dicebat, et omnia inaniter uel gesta sunt uel geruntur. Frustra ergo et nos modo pro ueritate certamur, quam nobis neque per se ipsum Christus, neque per apostolos suos uoluit indicare; et magis contra uoluntatem dei facere inuenimur, qui uolumus agnoscere id quod ille scire nec discipulos quidem suos uoluit. Sed
30 non est ita. Uerum est enim quod passus est Christus, et uere uenit in carne, et uere ab eo missi sunt omnes apostoli ad praedicandum, et Paulus uere ab eo missus est qui dicit: *Aut probamentum quaeritis eius, qui in me loquitur, Christus?* Et uerum est quod nos loquimur ueri-

14 »enim« ist im Cod. wiederholt | 18 »Si« fehlt im Cod. | 24 Vor »non sunt facta« vermutet Caspari »sed« oder »et«. — B.

ὥσπερ τοῖς τοῦ Χριστοῦ λόγοις, οὕτω καὶ τοῖς τοῦ ἀποστόλου γράμ-
b μασι, δι' ὧν καὶ αἷμα καὶ σῶμα Χριστὸν ἐσχηκέναι ἀκούομεν, καὶ
ὑπὲρ ἡμῶν κατ' ἀλήθειαν ἀποθανόντα καὶ τῷ ἰδίῳ ἡμᾶς ἐλευθερώ-
σαντα θανάτῳ δὴ καὶ αἵματι, ἅπερ οὐχ οἷόν ⟨τε⟩ πιστεῦσαι παθεῖν
5 τὸν ἐξ οὐρανοῦ κατελθόντα Χριστόν, εἰ μὴ σάρκα ἀνέλαβε. καὶ ὅτι
θάνατον καὶ αἷμα ὁ ἀπόστολος οὐ παρακεκαλυμμένως, ἀλλὰ μετὰ
πάσης παρρησίας κηρύσσει, ἀναγνώσομαι. λέγει γὰρ οὕτω· γνωρίζω
γὰρ ὑμῖν τὸ εὐαγγέλιον ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρε-
λάβετε, ἐν ᾧ καὶ ἑστήκατε, δι' οὗ καὶ σώζεσθε, τίνι λόγῳ
10 εὐηγγελισάμην ὑμῖν εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύ-
c σατε. παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὅτι Χριστὸς ἀπέθανεν
ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν καὶ ὅτι ἐτάφη καὶ ὅτι ἐγήγερται
τῇ τρίτῃ ἡμέρᾳ. εἴ τις οὖν μὴ εἰκῇ πεπίστευκεν, ἀλλὰ κρατεῖ τὴν
παράδοσιν τοῦ ἀποστόλου καὶ γνωρίζει τὸ εὐαγγέλιον δι' οὗ σωζό-
15 μεθα καὶ ἔχει τοῦτο.

ΕΥΤΡ. Ὀρθότατα ὁ ἀπόστολος δείκνυσιν· ὑπὲρ τῶν ἁμαρ-
τιῶν ἡμῶν, λέγων· ἀπέθανε Χριστὸς καὶ ἐτάφη καὶ τῇ τρίτῃ
ἡμέρᾳ ἐγήγερται. κατὰ ταύτην τὴν ὑπόθεσιν ἔσται ψευδῆ τὰ λεγό-
μενα εἰ μὴ καὶ σάρκα [καὶ αἷμα] ἔσχεν ὁ Χριστός, ἀλλὰ μόνον ἦν
20d πνεῦμα, φαντασίαν ἀνθρώπου ἔχων. οὔτε γὰρ παραδοθῆναι ἠδύνατο
[τὸ] πνεῦμα, ἀκράτητον ὄν, οὐδὲ ἀποθανεῖν, μὴ ὂν θνητῆς φύσεως·
ταφῆναι δὲ πνεύματι ἀμήχανόν ἐστι. τί δεῖ καὶ λέγειν; ἀλλ' οὐδὲ
ἔναιμόν ἐστι τῇ φύσει τὸ πνεῦμα. ἄλλως δέ, εἰ διὰ τοῦ θανάτου καὶ
τοῦ αἵματος Χριστοῦ τὴν σωτηρίαν τῶν ἀνθρώπων καταγγέλλουσιν
25 αἱ γραφαί, οὗτοι δὲ αἷμα καὶ σάρκα ἀρνοῦνται ἔχειν αὐτόν, οὔτε ἀπέ-
θανεν ἐκεῖνος κατ' ἀλήθειαν, οὔτε ἐτάφη, ⟨οὔτε ἀνέστη⟩· οὔτε γὰρ
αἷμα ἐσχήκει· ἀλλὰ τῷ δοκεῖν ταῦτα ἐπ' αὐτοῦ, μὴ ἀληθῶς γενόμενα
λέγεται, οὐδὲ ἡμεῖς οὖν κατ' ἀλήθειαν ἐσώθημεν ἀλλὰ δοκήσει, ὡς
ἐπὶ τῆς τῶν ἄλλων κατὰ δόκησιν παρουσίας ὁ κόσμος σωθῆναι οὐκ
30e ἠδυνήθη, ἀγγέλων λέγω ἐπί τε τοῦ Ἀβραὰμ καὶ εἴ τις ἕτερος

7—13] 1 Cor. 15: 1—4.

4 *τε* < d. HSS. | **14/15** Die Worte *καὶ γνωρίζει — ἔχει τοῦτο* sind fehlerhaft überliefert. Die freie Übers. Rufins leistet keine Hilfe. Schrieb der Verf. vielleicht: *εἴ τις οὖν μὴ εἰκῇ πεπ., ἀ. κρ. τ. παραδ. τ. ἀποστ.* (bezieht sich auf »*παρέδωκα*«) *καὶ ὃ γνωρίζει εὐαγγέλιον δι' οὗ σωζ.* (auf »*γνωρίζω γὰρ ὑμῖν*«), *κατέχει* (auf »*εἰ κατέχετε*«) *τοῦτο*, d. h.: der hält fest die wahre Lehre vom Leib und Blut Christi? | **18** *ψευδῶς* A¹B¹ | **19** *καὶ αἷμα* < ABCDFH Ruf. | **20** *ἔχων* ABCD, *ἔχον* d. übr. | **21** *τὸ* habe ich eingeklammert, es ist aus der letzten Silbe v. *ἠδύνατο* entstanden | **25** *οὗτοι*] *οὗτος* E | **26** Nach *ἐτάφη* haben die Worte *οὔτε γὰρ αἷμα ἐσχήκει* keinen vernünftigen Sinn. Dass *οὔτε ἀνέστη* ausgefallen sei, ergiebt sich m. E. aus 820c *εἰ μὴ ἀπέδωκε* (nl. *τὸ αἷμα*), *πῶς ἀνέστη Χριστός*; Chr. konnte nicht auferstehen und leben ohne Blut.

tatem, et uos uerum est quod erratis. Ut autem adhuc euidentius fiat quod dicimus, audi apostolum Paulum quam apte de his tradat. Dicit enim ita: *Notum autem uobis facio, fratres, euangelium.* Quod euangelium? *Quod euangelizaui uobis, quod et suscepistis, in quo et statis, per quod et*
5 *salui efficiemini, qua ratione euangelizaui uobis si retinetis, nisi forte sine causa credidistis. Tradidi enim uobis in primis quia Christus mortuus est pro peccatis nostris secundum scripturas et quia sepultus est et quia resurrexit tertia die.* Si quis ergo non sine causa credidit, haec quae apostolus tradidit tenet.

10 *Eutr. d.*: Euidenter hoc ostendit apostolus, dicens quia *Pro peccatis nostris Christus mortuus est et sepultus et die tertia resurrexit,* quod utique falsum erit, si carnem non habuit. Si enim spiritus fuit habens habitum uel speciem hominis, neque tradi poterat spiritus qui teneri non poterat, neque mori qui mortis materiam non habebat; sepeliri autem spiritus
15 quomodo poterat? Sed et si per mortem et sanguinem saluatoris salutem hominibus scripturae dicunt esse collatam, ille autem neque sanguinem suum fudisse pro hominibus, neque mortem uere asseritur pertulisse, manifestum est non esse uerum quod dicitur, nec uere salutem consecutos eos qui per hanc fidem credunt se saluandos. Putant enim sibi

14 Cod. sepiliri | autem] Cod. aut | **17** uere] Der Cod. hat nach »uere« noch die Worte »a nobis«, doch mit einem Punkt über »o« und unter »b«, als Zeichen, dass sie zu streichen seien | **18** manifestum est] Ruf. übersetzt nicht richtig. Den Hauptsatz, der mit οὐδὲ ἡμεῖς anfängt, lässt er mit ταῦτα ἐπ' αὐτοῦ anfangen. — B.

γέγραπται. διὸ ἐσφάλημεν περὶ τὴν πίστιν τῷ δοκεῖν τῆς ἐλπίδος
καὶ τῆς σωτηρίας τετυχηκότες.
ΑΔ. Βραχὺ προσκαρτερήσας ἄκουε μειζόνων ἀποδείξεων τοῦ
ἀποστόλου· εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται ἐκ νεκρῶν, φησί,
5 κενὸν καὶ τὸ κήρυγμα, κενὴ καὶ ἡ πίστις ἡμῶν. εἰ οὖν τῷ
δοκεῖν, ὡς τούτοις δοκεῖ, πέπονθε καὶ οὐ κατ' ἀλήθειαν, οὐκ ἀπέ-
θανεν ἀληθῶς· δῆλον οὖν ὅτι οὐδὲ ἀληθῶς ἠγέρθη ἐκ νεκρῶν καὶ
ἔσται κατ' ἀλήθειαν κενὸν καὶ τὸ κήρυγμα, κενὴ καὶ ἡ πίστις ἡμῶν.
f εἶτ' ἐπιφέρει· εἰ δὲ Χριστὸς κηρύσσεται ἐκ νεκρῶν, ἀπαρχὴ
10 τῶν κεκοιμημένων· ἐπειδὴ γὰρ δι' ἀνθρώπου θάνατος, καὶ
δι' ἀνθρώπου ἀνάστασις νεκρῶν. ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ
πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες
ζωοποιηθήσονται. ἀπαρχὴ Χριστός.
ΕΥΤΡ. Πιστεύεις τῷ ἀποστολικῷ, Μαρῖνε;
855 *ΜΑΡ.* Πιστεύω μὲν αὐτῷ, ἀλλὰ | πρόσσχες πῶς ὁ αὐτὸς ἀπό-
στολος λέγει· ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβάς. καὶ ἐν τῷ
εὐαγγελίῳ λέγει· οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ
ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου. ὁρᾷς ὅτι
τηλαυγῶς λέγει αὐτὸν ἐξ οὐρανοῦ ἐληλυθέναι.
20 *ΑΔ.* Αὗται αἱ ἀποδείξεις τὸ ἡμέτερον δόγμα συνιστῶσιν.
ΜΑΡ. Πῶς;
ΑΔ. Τὸ μὲν οὖν εὐαγγέλιον σαφῶς ἔδειξεν ὅτι, εἰ μὴ ὁ λόγος
ἀπ' οὐρανοῦ κατῆλθεν, οὐκ ἂν ἄνθρωπος εἰς οὐρανοὺς ἀνῆλθεν.
οὐδεὶς γάρ, φησίν, ἀναβέβηκεν εἰς τὸν οὐρανόν, εἰ μὴ ὁ ἐκ
25b τοῦ οὐρανοῦ καταβάς. τὸ γὰρ ἀναβέβηκε παρῳχηκότος ἐστὶ
χρόνου σημαντικόν. οὐ γὰρ εἶπεν ὅτι οὐδεὶς ἀναβήσεται, ἀλλ'· οὐδεὶς
ἀναβέβηκεν. ἔδειξεν οὖν σαφῶς ὅτι πρὸ τοῦ Χριστοῦ οὐδεὶς ἀνα-
βέβηκε· καθὼς καὶ ὁ ἀπόστολος λέγει· πρωτότοκος, φησί, καὶ πάλιν·
ἀπαρχὴ τῶν κεκοιμημένων, καὶ πάλιν λέγει· ἀπαρχὴ Χριστός,
30 ἔπειτα οἱ τοῦ Χριστοῦ. πρὶν οὖν τὸν τοῦ θεοῦ λόγον κατελθεῖν
καὶ ἀναλαβεῖν τὸν ἄνθρωπον ἐκ μήτρας, οὐδεὶς ἀνῆλθε, μετὰ δὲ τὸ
ἀνελθεῖν τὸν Χριστὸν τότε καὶ οἱ αὐτοῦ. οὕτω γὰρ ἔφη· ἀπαρχὴ
Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ. τὸ δέ· ὁ καταβὰς αὐτός
ἐστι καὶ ὁ ἀναβάς, οὕτως ὁ ἀπόστολος τὸ ἀπαθὲς τοῦ λόγου

4/5] 1 Cor. 15: 14. — **9—13**] 1 Cor. 15: 20—23. — **16**] Eph. 4: 10. — **17/18**] Joh. 3: 13. — **28**] Col. 1: 18. — **29**] 1 Cor. 15: 20. — **29/30**] 1 Cor. 15: 23. — **33/34**] Eph. 4: 10.

9 *εἰ* A[1]BD[1], *νῦν* d. übr. | **15** *πρόσχες* d. HSS. u. Ausgg. | **20** *ἡμέτερον* u. *συνιστῶσιν* ohne *οὐ* B Ruf., *ἡμέτερον* u. *οὐ συνιστῶσιν* ACDFGH Hnmfr., *ὑμέτερον* u. *οὐ συνιστ.* E Pic. | **27/28** *ἀναβέβηκε*] *ἀναβεβήκει* ACD, *ἀνβεβήκει* B, *ἀναβεβήκη* F | **28** *καθὼς* < E u. d. Ausgg. | *λέγει· Πρωτότοκος, φησί* A[1]B Ruf., *λέγει* < d. übr. | **35** *οὕτως* FH Pic., *τοῦτος* A[1]B[1], *οὗτος* d. übr.

datam salutem quae non est data, sicut et ille putatus est mortuus qui non est mortuus.

Ad. d.: Paululum adhuc mihi auditum praebete, et euidentiores de apostolo proferam probationes. Ait namque: *Si autem Christus non* 5 *resurrexit a mortuis, inanis est praedicatio nostra, et uacua est fides uestra.* Si ergo, ut isti putant, non uere mortuus est, certum est quia nec uere resurrexit a mortuis, et tunc uere erit inanis praedicatio de eo, inanis etiam et fides nostra. Sic enim prosequitur apostolus: *Si autem Christus praedicatur a mortuis resurrexisse, initium dormientium; quia per hominem* 10 *mors et per hominem resurrectio mortuorum. Sicut enim per Adam omnes moriuntur, ita et in Christo omnes uiuificabuntur, et initium Christus.*

c. **VII.** *Eutr. d.*: Credis, Marine, uerbis apostoli?

Mar. d.: Credo apostolo. Sed uide quomodo ipse apostolus dicit: *Qui descendit ipse est et qui ascendit.* Et iterum in euangelio scriptum 15 est: *Nemo ascendit in coelum, nisi qui de coelo descendit, filius hominis* (*qui est in coelo*). Uides quam perspicue dicit eum de coelo uenisse.

Ad. d.: His testimoniis nostrum dogma munitur.

Mar. d.: Quomodo?

Ad. d.: Euangelium aperte ostendit quia uerbum de coelo descen- 20 derit, et non homo in coelum ascenderit. *Nemo* enim, inquit, *ascendit in coelum, nisi qui de coelo descendit.* Quod enim dixit: *ascendit* praeteriti temporis est. Non enim dicit quia nemo ascendet, hoc est nemo ascensurus est, sed nullus ascendit. Manifeste igitur demonstrauit quia ante Christum nemo ascenderit. Sed et apostolus dicit: *Primogenitus*, inquit, 25 *ex mortuis.* Et iterum dicit: *Initium dormientium.* Et iterum dicit: *Initium Christus, deinde hi qui sunt Christi.* Antequam uerbum dei descenderet et carnem assumeret humanae naturae, nemo ascendit in coelum. Posteaquam uero Christus ascendit, tunc etiam hi qui sunt Christi. Sic enim dicit: *Initium Christus, deinde hi qui sunt Christi.* Quod autem 30 dicit apostolus quia *Qui descendit ipse est et qui ascendit*, hoc indicat quod nulla passio uel fragilitas mutauerit uerbum dei, sed ipse qui

6 isti] Cod. iusti | **10** per Adam] Caspari bemerkt, es sei wohl »in A.« zu lesen. Unnötige Änderung. — B | **14** Qui descendit] Im Cod. stand »quia«, »a« wurde aber ausgelöscht als falsch | **25** Die Worte »*Initium dormientium.* Et iterum dicit« stehen, als im T. vergessen, am Rande, wo sie fünf Zeilen einnehmen.

c δεῖξαι θέλων καὶ τὸ ἄτρεπτον. ἀληθῶς γὰρ ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβάς, οὐδὲν ἄλλο γενόμενος παρ' ὃ ἦν, θεός.

ΕΥΤΡ. Αὗται αἱ ῥήσεις τῷ ὅρῳ Ἀδαμαντίου συντρέχουσιν· ὅμως δὲ βούλομαι περὶ τούτου ἀμφοτέρους ὁρίσασθαι.

5 ΑΔ. Ὁ τοῦ θεοῦ λόγος κατελθὼν ἀνέλαβεν ἄνθρωπον ἀπ' ἀχράντου παρθένου Μαρίας ἐν μήτρᾳ, καὶ γεννᾶται ὁ Χριστὸς χωρὶς συνουσίας ἀνδρός, καὶ οὗτος ὁ ληφθεὶς ἀπὸ Μαρίας ἐκ πνεύματος ἁγίου, οὗτος ὑπέμεινε πάντα τὰ ἀνθρώπινα πάθη, ἵνα τὸν ἄνθρωπον σώσῃ.

ΜΑΡ. [Καλῶς.] Πάσχοντος οὖν τοῦ ἀνθρώπου συμπαρῆν ὁ λόγος 10 ἢ οὔ;

ΕΥΤΡ. Ἐκθοῦ πρῶτον τὸν ὅρον.

d ΑΔ. Συγχώρησον πρῶτον τὴν ἀπόκρισιν τὴν πρὸς αὐτὸν ποιήσασθαι, εἶθ' οὕτως ἐκθέσθαι τὸν ὅρον. συμπαρῆν μὲν ὁ τοῦ θεοῦ λόγος τῷ ἀνθρώπῳ, ἀλλ' οὐκ ἠδικεῖτο, ὥσπερ ἀδάμας ὑπὸ σιδήρου 15 παιόμενος σῶος μένει, τοὐναντίον ἀντιβλάπτων τὸν ἐθέλοντα βλάψαι, ἀλλὰ καὶ ἡ ἀμίαντος τῷ πυρὶ παραδιδομένη, ἄθραυστος καὶ ἄχραντος διαμένει, οὐδὲν ἀδικουμένη. ἀλλ' οὐδὲ τὸ πῦρ ὑπὸ φασγάνου τεμνόμενον διαιρεῖται, ἡ γὰρ πυκνότης τοῦ πυρός, εἰς αὐτὴν ἀνατρέχουσα, ἀδιαίρετος μένει. εἰ οὖν αἱ ὗλαι πρὸς ἑτέρας ὕλας τὸ ἑαυτῶν σθένος 20 ἐνδείκνυνται, ἀναλωθῆναι μὴ δυνάμεναι, πῶς οὐχὶ μᾶλλον ὁ τοῦ e θεοῦ λόγος, ἀπαθοῦς καὶ ἀτρέπτου φύσεως ὤν, ἔμεινεν ἀπαθής, τὰ πάθη ἀναλίσκων; εἰ δὲ βούλει, ἀναγινώσκω τὸ εὐαγγέλιον ὅτι ἐκ Μαρίας γεγέννηται.

ΜΑΡ. Καὶ ἡμεῖς ὁμολογοῦμεν ὅτι διὰ Μαρίας, ἀλλ' οὐκ ἐκ Μαρίας. 25 ὥσπερ γὰρ ὕδωρ διὰ σωλῆνος διέρχεται, μηδὲν προσλαμβάνον, οὕτω καὶ ὁ λόγος διὰ Μαρίας καὶ οὐκ ἐκ Μαρίας.

ΑΔ. Πρόσταξον ἀναγνωσθῆναι τὸ εὐαγγέλιον.

ΕΥΤΡ. Ἀναγνωσθήτω.

ΑΔ. Ἀναγινώσκω πῶς ὁ ἄγγελος πρὸς τὴν Μαρίαν λέγει· πνεῦμα 30 ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει

29ff.] Lc. 1: 35.

2 καὶ ὁ ἀναβὰς] ACDFGH, καὶ < d. übr. | οὐδὲν ἄλλο A²FH Ruf. Pic., οὐδὲν ἄλλος B² (w. e. sch.) CDG, οὐδεὶς ἄλλος A¹B¹, οὐδὲ ἄλλος E u. d. Ausgg. | **7** ὁ < B | **8** τὰ < A | **9** καλῶς gehört dem Rande, nicht dem Texte an. Ernsthaft kann es selbstverständlich nicht gemeint sein, und jede Ironie, auch in der schwachen Form »Nun gut« liegt dem Redenden im Dialogus fern. Es ist, glaube ich, der Ausruf eines bewundernden Lesers und gehört einige Zeilen weiter zu den Vergleichungen mit dem Diamant und dem Amiant. Dass öfters in Codd. Worte wie καλῶς, ὡραίως in margine geschrieben wurden, ist bekannt, vgl. Badham ad Eur. Hel. vs. 1059, Cobet Nov. lect. p. 441 | **16** ἡ < DE | **18** ἑαυτὴν D | **22** ἐκ < B¹ | **23** γεγέννητο ABEFH.

descendit, immaculatus, immutabilis permanens, ipse rursus ascenderit. Uere enim ipse qui descenderat et ascendit, nihil aliud effectus.

c. **VIIII.** *Eutr. d.*: Testimonia quidem consequenter uidentur exposita. Uerumtamen uolo ut de hac quaestione ambo uestras sententias 5 statuatis.

Ad. d.: Uerbum didicimus descendisse de coelo et assumsisse carnem ex immaculata uirgine, natum et ex spiritu sancto. Hic sustinuit omnes humanas passiones, ut homines saluaret.

Mar. d.: Optime. Cum ergo pateretur homo, quem ab eo dicis 10 assumtum, aderat etiam uerbum simul, an non?

Eutr. d.: Etiam tu expone prius sententiam tuam.

Ad. d.: Indulge mihi prius respondere ad hoc quod proposuit, et ita exponat sententiam suam. Aderat quidem uerbum dei, cum pateretur id quod passibile erat in Christo, sed ita, sicut adamans malleis tunditur 15 et non solum ipse permanet incorruptus, uerum e contrario noxam sentit magis ille qui uerberat. Similiter et amiantum cum igni traditur, permanet incorruptum, nec in aliquo prorsus ignis detrimenta perpetitur. Sed ne ignis quidem ipse gladio sectus dirimi potest. Quodsi materiae corporales aliis nihilominus contrariis sibi materiis cedere nesciunt, nec 20 mutari ab eis possunt, aut in aliquo prorsus sui detrimenta sentire, quanto magis uerbum dei quod incorruptibilis et immutabilis naturae est, permansit impassibile, suscipiens passiones. Si autem uis, lego de euangelio quia ex Maria natus sit.

c. **IX.** *Mar. d.*: Etiam nos confitemur quia per Mariam natus est, 25 sed non de Maria. Sicut enim aqua per fistulam transit, nihil ex ea accipiens, ita etiam uerbum dei per Mariam transitum fecit sed non de Maria aliquid sumsit.

Ad. d.: Iube recitari euangelium.

Eutr. d.: Recitetur.

30 *Ad. d.*: Lego quomodo angelus ad Mariam dicit: *Spiritus domini*

9 Vgl. d. Anm. z. d. gr. T. Habe ich Recht, so ist die Einschaltung von *καλῶς* schon sehr alt | **14** adamans] So der Cod. statt des gewöhnlichen »adamas« | **16** Gewöhnlich »amiantus« | **28** Cod. recitare.

σοι. διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον υἱὸς ὑψίστου κληθήσεται.

f ΕΥΤΡ. Ἴσως καὶ τὴν τοῦ ἀγγέλου φωνὴν δοκήσει λέξεις γεγενῆσθαι. τί γὰρ τούτου ἔσται ἀληθέστερον, τοῦ ἀγγέλου φήσαντος·
856 διὸ καὶ τὸ | γεννώμενον ἐκ σοῦ ἅγιον; οὐ γὰρ ἔφη· τὸ γεννώμενον διὰ σοῦ, ἀλλ' ἐκ σοῦ. πῶς δὲ κἀκεῖνο οὐκ ἔσται ἀνόητον, τὸ λέγειν ὡς διὰ σωλῆνος, καὶ τὸ μὲν διελθεῖν διὰ Μαρίας τὸν λόγον ὁμολογεῖν, τὸ δὲ λαβεῖν τι ἐξ αὐτῆς ἀρνεῖσθαι; καὶ εἰ μὲν δι' αἰδῶ τινα ἀρνεῖσθε, εἴγε αἰδεῖται τὸ θεῖον, [καὶ] τὸ μὲν αἰδοῦς ἄξιον ὁμο-
10 λογεῖς, Μαρῖνε, τὸ δὲ σεμνότερον καὶ οἰκονομικώτερον ἀρνῇ. εἰ γὰρ διελθεῖν διὰ Μαρίας ὁ λόγος οὐκ αἰσχρὸν ἡγήσατο, οὐδὲ λαβεῖν τι ἐξ αὐτῆς ᾐδεῖτο. τί γὰρ ἦν ἀναγκαῖον διελθεῖν εἰ μή τι προσελάμβανεν;

ΑΔ. Εἰ μὴ ἔλαβεν ἄνθρωπον ἐκ Μαρίας, πῶς ἂν συσταθεῖεν οἱ
b ὑπὸ τοῦ ἀποστόλου λεγόμενοι λόγοι; πῶς δὲ πρωτότοκος ἔσται
15 τῶν νεκρῶν καὶ ἀπαρχὴ τῶν κεκοιμημένων; δειξάτωσαν. εἰ μὲν γὰρ σχήματι μόνῳ φασὶν αὐτόν, ὡς καὶ τοὺς ἀγγέλους, πεφηνέναι, οὐ δύναται εἶναι πρωτότοκος οὐδὲ ἀπαρχή.

ΜΑΡ. Πῶς;

ΕΥΤΡ. Οἱ ἄγγελοι πρὸ τοῦ Χριστοῦ πεφήνασιν, ἢ ὁ Χριστὸς
20 πρὸ τῶν ἀγγέλων;

